δεινός, -ή, -όν = terribile, straordinario
ἑτοῖμος, -η, -ον = pronto (+ inf. = pronto a)
ἐχθρος, -ά, -όν = nemico
θαυμαστος, -ή, -όν = meraviglioso
ἴδιος, -α, -ον = privato, particolare
ἱερος, -α, -ον = sacro
ἱκανός, -ή, -όν = adatto, sufficiente
ἰσχυρος, -α, -ον = forte
κλεινος, -η, -ον = famoso
λαμπρός, -ά, -όν = splendente
μακρος, -ά, -όν = grande, lungo
μεστός, -ή, -όν = pieno
μικρος, -α, -όν = piccolo, breve
νέος, -α, -ον = nuovo, giovane
ξένος, -η, -ον = straniero
ὀλιγος, -η, -ον = poco
ὁμοιος, -α, -ον = uguale
ὀρθος, -η, -ον = diritto, giusto, corretto
πικρός, -ά, -όν = amaro, severo
πλούσιος, -α, -ον = ricco
ῥᾴδιος, -α, -ον = facile
σεμνός, -ή, -όν = venerando, maestoso, solenne
σχέτλιος, -α, -ον = sventurato; terribile (da sopportare)
χαλεπός, -ή, -όν = difficile, irascibile
χρήσιμος, -η, -ον = utile, vantaggioso

Lessico tematico — Pregi e difetti

αγαθός, -ή, -όν = buono
βίαιος, -α, -ον = violento
γενναῖος, -α, -ον = nobile
δίκαιος, -α, -ον = giusto
εσθλός, -ή, -όν = valoroso, assennato, probo
κακός, -ή, -όν = cattivo
καλός, -ή, -όν = bello
πιστος, -η, -όν = fedele
πονηρός, -ά, -όν = malvagio
σοφος, -η, -όν = saggio
σπουδαῖος, -α, -ον = bravo, volenteroso
φαῦλος, -η, -ον = da poco, malvagio
χρηστός, -ή, -όν = buono, onesto, ricco

RAGIONA CON IL LESSICO

ESERCIZIO Etimologia

1. Rintraccia tra i vocaboli del Lessico frequente 11 quelli etimologicamente connessi con i seguenti termini italiani, spiega quindi il significato di questi ultimi.

	Dal greco...	Significato
1. archeosub		
2. ortodonzia		
3. omeostasi		
4. neolaureato		
5. microcosmo		
6. xenofilia		
7. oligopolio		
8. idiopatico		
9. assioma		
10. macroeconomia		

ESERCIZIO Campi semantici

2. Trascrivi gli aggettivi del Lessico frequente 11 che rimandano agli ambiti semantici di seguito proposti.

1. Sfera religiosa
2. Età
3. Misura

ESERCIZIO Famiglie di parole

3. Ciascuno dei seguenti aggettivi tratti dal Lessico frequente 11 è associato a tre termini, due dei quali appartengono alla stessa famiglia. Cerca i significati sul vocabolario e quindi elimina l'intruso.

1. σεμνός = ...
   a. σεμνότης =
   b. σέλινον =
   c. σεμνύνω =

2. πλούσιος =
   a. πιστεύω =
   b. πλοῦτος =
   c. πλουτίζω =

3. ἰσχυρός =
   a. ἰσχνός =
   b. ἰσχύω =
   c. ἰσχύς =

4. χρήσιμος =
   a. χράομαι =
   b. χρησμός =
   c. ἄχρηστος =

5. ἐχθρός =
   a. ἐχθαίρω =
   b. ἐχθές =
   c. ἔχθρα =

6. χαλεπός =
   a. χαλεπαίνω =
   b. χαλεπότης =
   c. χαλάω =

7. ἄξιος =
   a. ἀξίνη =
   b. ἀξιόω =
   c. ἀξία =

ESERCIZIO
Derivazione verbale e nominale

4. Partendo dal significato dei seguenti aggettivi tratti dal Lessico tematico, individua quello dei sostantivi e dei verbi ad esso associati.

1. Se βίαιος significa "violento", allora βία vuol dire "_____" ed è il corrispondente del latino "_____".
2. Se σοφός significa "saggio", allora σοφία vuol dire "_____", i verbi σοφίζω e σοφιστεύω significano rispettivamente "_____" e "_____"
3. Se σπουδαῖος significa "zelante", allora σπουδή vuol dire "_____" e il verbo σπουδάζω significa "_____"
4. Se κακος significa "cattivo", allora κακία vuol dire "_____"
5. Se δίκαιος significa "giusto", allora δίκη vuol dire "_____", δικαστής significa "_____" e il verbo δικάζω vuol dire "_____"
6. Se πονηρός significa "malvagio", allora πονηρια vuol dire "_____"

PREPARATI ALLA TRADUZIONE

I seguenti esercizi attingono sia al lessico frequente sia al Lessico tematico e ti permettono di verificare se hai imparato a:
- declinare un aggettivo della prima classe a tre uscite;
- riconoscere e tradurre correttamente un aggettivo della prima classe a tre uscite.

ESERCIZIO
Flessione aggettivale

5. Inserisci, in base all'articolo, l'opportuna terminazione dell'aggettivo, quindi fletti per intero oralmente e traduci.

1. ἡ δίκη + ἀναγκαῖος
2. ἡ ἱέρεια + σεμνός
3. ἡ ὁδός + ὀρθός
4. τὸ ὅπλον + χρήσιμος
5. ὁ δοῦλος + ἰσχυρός

6. ὁ λεώς + ἐχθρός
7. τὸ ἔργον + χαλεπός
8. ἡ θάλασσα + μακρός
9. ἡ χώρα + θαυμαστός

ESERCIZIO Accordo nome-aggettivo

6. Collega il sostantivo all'aggettivo concordato, quindi traduci.

1. τὰ ὅπλα	a. χρήσιμαι
2. ὁ ἀθλητής	b. ἀξίω
3. ταῖν θυσίαιν	c. χαλεπέ
4. τὰς συμφορᾶς	d. δεινάς
5. τῆς ἱερείας	e. ἐχθρῶν
6. τῷ Ἀτρείδα	f. ἱεραῖν
7. αἱ γνῶμαι	g. ἰσχυρός
8. τῷ δεσπότῃ	h. μικρά
9. ὦ κριτά	i. σεμνῆς
10. τῶν κυβερνητῶν	l. πικρῷ

ESERCIZIO Accordo aggettivo-nome

7. Concorda i seguenti aggettivi, tratti dal Lessico tematico, con i sostantivi indicati, quindi traduci.

1. ἀγαθός	ἀθληταῖς (m.)	_____	trad. _____
	παιδία (n.)	_____	trad.
	παρθένον (f.)	_____	trad.
2. κακός	δοῦλον (m.)	_____	trad.
	ναύτῃ (m.)	_____	trad.
	λῃστήν (m.)	_____	trad.
3. πιστός	στρατιώταις (m.)	_____	trad.
	ἵππους (m.)	_____	trad.
	θεραπαινῶν (f.)	_____	trad.
4. γενναῖος	ἀνθρώπου (m.)	_____	trad.
	ἔργον (n.)	_____	trad.
	δικαστῇ (m.)	_____	trad.
5. σοφός	στρατηγοῖς (m.)	_____	trad.
	πολίτην (m.)	_____	trad.
	ψήφου (f.)	_____	trad.
6. πονηρός	κλέπτην (m.)	_____	trad.
	βίοις (m.)	_____	trad.
	δεσποίνῃ (f.)	_____	trad.
7. καλός	τόπων (m.)	_____	trad.
	νήσου (f.)	_____	trad.
	ἔργα (n.)	_____	trad.
8. χρηστός	μέλιττα (f.)	_____	trad.
	συμπολῖται (m.)	_____	trad.
	στρατηγοῖν (m.)	_____	trad.

ESERCIZIO
Sintassi, accordo e terminazioni

8. **Completa le seguenti frasi, inserendo gli aggettivi richiesti dalle traduzioni.**

1. Οἱ θεοὶ τοὺς _____ ἀνθρώπους στέργουσιν.
   Gli dèi amano gli uomini giusti.
2. Οἱ _____ μαθηταὶ _____ ἔργα παρασκευάζουσιν.
   I saggi discepoli preparano nobili opere.
3. Τὰ τῶν _____ πολιτῶν ἔργα θαυμάζετε.
   Ammirate le opere dei cittadini probi!
4. Ὦ πολῖται, τοῖς _____ νόμοις ἀεὶ πείθεσθε.
   Cittadini, ubbidite sempre alle giuste leggi.
5. Ἡ _____ θύελλα τοῖς ναύταις τὸ πλοῖον καταρρήγνυσι.
   La violenta tempesta distrugge la nave ai volenterosi marinai

ESERCIZIO DI SINTESI
Lessico frequente e Lessico tematico

9. **Traduci le seguenti frasi senza vocabolario.**

1. Ὁ σπουδαῖος γεωργὸς ἄγει τὸν ἵππον.
   Ὁ σπουδαῖος γεωργὸς ἄγει τὸν πιστὸν ἵππον.
   Ὁ σπουδαῖος γεωργὸς ἄγει τὸν πιστὸν ἵππον ἐν τῇ ἀρούρᾳ.
   Ὁ σπουδαῖος γεωργὸς ἄγει τὸν πιστὸν ἵππον ἐν τῇ ἀρούρᾳ μετὰ πόνου.
2. Ὁ ἀοιδὸς τοῖς πολίταις γενναῖα ἔργα ἐντίθεται.
   Ὁ σοφὸς ἀοιδὸς τοῖς πολίταις γενναῖα ἔργα ἐντίθεται.
   Ὁ σοφὸς ἀοιδὸς τοῖς χρηστοῖς πολίταις γενναῖα ἔργα ἐντίθεται.
   Ὁ σοφὸς ἀοιδὸς διὰ τὸν μῦθον τῶν Ἀργοναυτῶν τοῖς χρηστοῖς πολίταις γενναῖα ἔργα ἐντίθεται.
3. Ὁ πλούσιος δυνάστης βασιλεύει.
   Ὁ πλούσιος δυνάστης βασιλεύει τῆς μακρᾶς χώρας.
   Ὁ πλούσιος δυνάστης βασιλεύει τῆς μακρᾶς χώρας καὶ μάχεται τοῖς πολεμίοις.
   Ὁ πλούσιος δυνάστης βασιλεύει τῆς μακρᾶς χώρας καὶ μάχεται τοῖς ξένοις πολεμίοις.
4. Ἡ τύχη τῶν θεῶν κολάζει τοὺς ἀνθρώπους.
   Ἡ ἀναγκαία τύχη τῶν θεῶν κολάζει τοὺς ἀνθρώπους.
   Ἡ ἀναγκαία τύχη τῶν θεῶν κολάζει τοὺς σχετλίους ἀνθρώπους.
   Ἡ ἀναγκαία τύχη τῶν θεῶν κολαζει τοὺς σχετλίους ἀνθρώπους λόγοις καὶ ἔργοις.

DDI
Lettura espressiva delle versioni

TRADUCI

Per facilitarti nella traduzione, ricorda che in questa sezione di esercizi si utilizzano vocaboli tratti dal Lessico frequente, dal Lessico tematico e altri vocaboli che troverai registrati in fondo al volume.

ESERCIZIO
La prima classe degli aggettivi

10. **Analizza e traduci le seguenti frasi. Le strutture morfosintattiche che hai appena studiato sono evidenziate in grassetto.**

1. **Πικρὰ** φάρμακα πολλάκις ἐν ταῖς **δειναῖς** νόσοις **θαυμαστὴν** σωτηρίαν φέρει.
2. Τῷ **γενναίῳ** καὶ **δικαίῳ** δεσπότῃ **πιστοὶ** οἰκέται ἐν τῇ **μακρᾷ** οἰκίᾳ εἰσίν.
3. Οἱ **σοφοὶ** διδάσκαλοι μετὰ δικαιοσύνης τοὺς **ἀργοὺς** καὶ **λάλους** μαθητὰς κολάζουσι.
4. Οἱ **μακροὶ** ἀγροὶ τῶν **σπουδαίων** γεωργῶν **ἀφθόνων** καὶ **θαυμαστῶν** καρπῶν

μεστοί εἰσιν. **5.** Ὁ Λυκοῦργος, ὁ **κλεινὸς** νομοθέτης, ὑπὸ τῶν Λακεδαιμονίων **χρηστός** τε καὶ **σεμνὸς** νομίζεται. **6.** Τῶν ἀνθρώπων ὁ μὲν βίος **μικρός** ἐστι, ἡ δὲ δόξα **μακρά**. **7.** Οἱ ὁδοιπόροι, ὅτε **δεινὴν** ἄρκτον βλέπουσι, ἐπὶ τὰ **ὑψηλὰ** δένδρα καταφεύγουσι καὶ τὴν σωτηρίαν εὑρίσκονται. **8.** Τῇ **χαλεπῇ** ἐργασίᾳ οἱ **ἐσθλοὶ** γεωργοὶ τὸν βίον ἔχουσιν[1] **9.** Ὁ τῶν ναυτῶν βίος **δεινῶν** κινδύνων **μεστός** ἐστιν **10.** Ἐν ταῖς τῶν ἑραστῶν γνώμαις αἱ **καλαὶ** κόραι ταῖς θεαῖς **ὁμοῖαι** εἰσιν. **11.** Οἱ **ἀνδρεῖοι** στρατιῶται ὑπὲρ τῆς τῶν πολιτῶν σωτηρίας μάχεσθαι **ἑτοῖμοί** εἰσιν. **12.** Ὑπὸ τῶν **ἀγαθῶν** ἀνθρώπων ἡ ἀρετὴ ἐπαίνου τε καὶ μνήμης **ἀξία** νομίζεται **13.** Οὐ μόνον οἱ **ἀνδρεῖοι** στρατιῶται, ἀλλὰ καὶ οἱ **δίκαιοι** πολῖται καὶ οἱ **ἰσχυροὶ** ἀθληταὶ τιμῆς **ἄξιοι** νομίζονται. **14.** Ἐν τοῖς ἀγροῖς τὰ δένδρα οὐ μόνον τοῖς **σπουδαίοις** γεωργοῖς **ὡραίους** καρποὺς διδωσι, ἀλλὰ καὶ **ψυχρὰν** σκιὰν τοῖς ὁδίταις φέρει **15.** Οἱ **σπουδαῖοι** νεανιαι εἰς τὸ διδασκαλεῖον ἔρχονται καὶ ἀπὸ τοῦ διδασκάλου τοὺς τοῦ Ὁμήρου **ἀρχαίους** καὶ **κλεινοὺς** μύθους ἀκούουσιν. **16.** Ὁ στρατηγὸς **βιαίαις** ζημίαις τοὺς **φαύλους** πολεμίους κολαζει **17.** Οἱ **παλαιοὶ** ποιηταὶ ἐν ταῖς **κλειναῖς** ᾠδαῖς τὴν **θαυμαστὴν** ὁμονοιαν τὴν τῶν πολιτῶν και τὴν **δεινὴν** ἀνδρείαν τὴν τῶν στρατιωτῶν ἄδουσι. **18.** Ὦ **ἀγαθὲ** πολῖτα, ταῖς μὲν **δικαίαις** διδασκαλίαις ἕπου, τοὺς δὲ **κακοὺς** λόγους φεῦγε. **19.** Ἡ Αἴγυπτος **ὀλβία** χωρα ἐστὶ ἐπεὶ ὁ Νεῖλος ποταμὸς ἐν τῇ **θερινῇ** ὥρᾳ αναβαίνει καὶ **ὅλα** τὰ χωρία πέριξ **συχνὰς** ἡμέρας κατακλύζει. **20.** Τὰ τῶν **κακῶν** τυράννων ἔργα ὑπὸ τῶν **ἀγαθῶν** πολιτῶν μισεῖται, ὑπὸ τῶν **πονηρῶν** στέργεται.

---

1. τὸν βίον ἔχειν = "procurarsi da vivere".

Per tradurre

La concordanza tra aggettivo e sostantivo

Come in latino, anche in greco l'aggettivo concorda con il sostantivo a cui si riferisce in genere, numero e caso

Οἱ πολῖται **ἀγαθοί** εἰσιν. — I cittadini sono **buoni**

Quando l'**aggettivo si riferisce a più sostantivi**.

- se i sostantivi sono dello **stesso genere**, l'aggettivo concorda nel caso e nel genere e assume il numero plurale;

  Ἡ δέσποινα καὶ ἡ θεράπαινα **καλαί** εἰσιν — La padrona e l'ancella sono **belle**.

- se i sostantivi sono di **genere diverso**, l'aggettivo concorda nello stesso caso e assume il numero plurale e il genere "più nobile" (il maschile prevale sul femminile e sul neutro, il femminile prevale sul neutro), se però tali sostantivi designano **esseri inanimati**, l'aggettivo può anche assumere il genere neutro.

  Ὁ δεσπότης καὶ ἡ δέσποινα **πλούσιοί** εἰσιν — Il padrone e la padrona sono **ricchi**.

  Ὁ ἄνθρωπος καὶ τὰ ζῷα **θνητοί** εἰσιν. — L'uomo e gli animali sono **mortali**.

  Λίθοι καὶ ξύλα **χρήσιμά** εἰσιν — Pietre e legna sono (cose) **utili**.

Quando l'aggettivo si riferisce a un'**intera proposizione** o a un **infinito sostantivato** assume il genere neutro.

Δίκαιόν ἐστι τοὺς θεοὺς σέβειν. — È **giusto** onorare gli dèi

ESERCIZIO
Accordo tra aggettivi e sostantivi

11. Analizza e traduci le seguenti frasi, prestando particolare attenzione alla concordanza tra gli aggettivi e i sostantivi a cui si riferiscono. Le strutture morfosintattiche che hai appena studiato sono in grassetto.

1. Ἐσθλόν ἐστι τὰ **γενναῖα** ἔργα πράττειν. **2.** Οἱ οἰκέται καὶ αἱ θεράπαιναι ἐν τῇ οἰκίᾳ **πιστοί** εἰσι. **3.** Τοῖς **ἀγαθοῖς** καὶ **σοφοῖς** διδασκάλοις πείθεσθαι **ἀναγκαῖόν** ἐστιν. **4.** Ὅτε ὁ ἥλιος ἐν τῷ οὐρανῷ **ὕψιστος** λάμπει, παρὰ τὴν θάλασσαν οἱ νεανίαι καὶ αἱ κόραι τῇ σφαίρᾳ **φαιδροὶ** παίζονται. **5. Πιστοὺς** φίλους εὑρίσκεσθαι πολλάκις **χαλεπόν** ἐστιν. **6.** Οὐ **ῥᾴδιόν** ἐστι τῆς τοῦ **ἐσθλοῦ** Ἀγησιλάου ἀρετῆς τε καὶ δόξης **ἄξιον** ἔπαινον γράφειν **7.** Τοῖς νεανίαις αἱ **κακαὶ** ὁμιλίαι καὶ ἡ ἄγνοια **φοβεραὶ** γίγνονται. **8.** Ἐν ταῖς **χαλεπαῖς** νόσοις οὐ μόνον τὰ φάρμακα, ἀλλὰ καὶ ἡ ἡσυχία τε καὶ ἡ σωφροσύνη **ἀναγκαῖαι** φαίνονται.

PAROLE IN PRIMO PIANO

Il pronome/aggettivo determinativo αὐτός, -ή, -ό

Il pronome/aggettivo determinativo αὐτός, -η, -ο viene usato in greco con **funzione anaforica**, per richiamare cioè un elemento già noto dell'enunciato. Come puoi notare dal seguente prospetto, αὐτός si declina come un **aggettivo della prima classe a tre uscite**; l'unica differenza si registra nei **casi diretti del neutro singolare**, dove troviamo la forma αὐτό, senza il -ν finale, caratteristico di sostantivi e aggettivi.

	Maschile	Femminile	Neutro
Singolare	αὐτός	αὐτή	αὐτό
	αὐτοῦ	αὐτῆς	αὐτοῦ
	αὐτῷ	αὐτῇ	αὐτῷ
	αὐτόν	αὐτήν	αὐτο
Duale	αὐτώ	αὐτά	αὐτω
	αὐτοῖν	αὐταῖν	αὐτοῖν
Plurale	αὐτοί	αὐταί	αὐτά
	αὐτῶν	αὐτῶν	αὐτῶν
	αὐτοῖς	αὐταῖς	αὐτοῖς
	αὐτους	αὐτάς	αὐτά

Αὐτος è molto usato in greco e presenta diversi valori che impareremo a conoscere a poco a poco. Intanto, ricorda che:

1. quando è usato **come pronome**, può essere tradotto in italiano come **pronome determinativo di 3ª persona** ("egli", "ella", "esso", "lui", "lei", "essi", "esse", "loro", "questo", "quello", "ciò"; *cfr.* lat. *is, ea, id*);
   Οἱ ἄνθρωποι τοῖς θεοῖς πιστεύουσιν, εἰ καὶ **αὐτοὺς** οὐχ ὁρῶσιν.
   Gli uomini credono agli dèi, anche se non **li** vedono
2. al **genitivo**, in genere posposto al termine cui si riferisce, **esprime un rapporto di possesso** ("suo", "sua", "suoi", "sue").
   Ὁ Καλλίας μάλα πλούσιός ἐστι καὶ ἡ οἰκια **αὐτοῦ** θαυμαστῶν ἔργων πλέα ἐστίν.
   Callia è molto ricco e la **sua** casa è piena di oggetti da ammirare.

ESERCIZIO
αὐτός

12. **Traduci le seguenti frasi. Le strutture morfosintattiche che hai appena studiato sono evidenziate in grassetto.**

1. Οἱ στρατιῶται ἐπὶ τὸν λόφον ἰκνέονται καὶ ἐκεῖ (avv.) **αὐτοὶ** μένουσιν. **2.** Πρῶτος τῶν ποιητῶν ἐστι Ὅμηρος. **Αὐτὸς** ᾄδει τὸν νόστον τοῦ Λαερτιάδου εἰς Ἰθάκην. **3.** Ὁ γεωργὸς τὰ **αὐτοῦ** ζῷα εἰς τοὺς ἀγροὺς φέρει **4.** Ὁ δεσπότης καλοὺς ἵππους ἔχει καὶ **αὐτοὶ** ἐν τῷ ἀγρῷ τρέχουσιν. **5.** Τὰς οἰκίας **αὐτῶν** θαυμάζετε **6.** Τὸ πλοῖον **αὐτοῦ** ἐν τῇ θυέλλῃ καταρρήγνυται. **7.** Οἱ Ἀθηναῖοι καλοὶ κἀγαθοί εἰσιν καὶ οἱ θεοὶ **αὐτοὺς** στέργουσιν. **8.** Ὁ πρεσβευτὴς ἐν τῇ ἐκκλησίᾳ λέγει καὶ οἱ λόγοι **αὐτοῦ** εἰσιν δεινοί. **9.** Ὁ διδάσκαλος τοὺς μαθητὰς παιδεύει καὶ **αὐτοὶ** σοφοὶ γίγνονται.

VERSIONE
Difficoltà

32 Alcuni politici illustri della Grecia arcaica

Un ritratto dei legislatori di Sparta e Atene: Licurgo è il più importante legislatore spartano, ad Atene dopo le riforme di Draconte, Solone e Clistene segue la tirannide di Pisistrato e dei suoi figli.

Οἱ νομοθέται ἐν ταῖς ξέναις χώραις μακρὸν χρόνον διάγουσιν καὶ τὰς τῶν ἄλλων δήμων γνώμας καὶ ὀρθοὺς νόμους μανθάνουσιν. Εἶτα (avv.) ἀνέρχονται καὶ τοὺς νόμους εἰς τὰς ἰδίας χώρας προσφέρουσιν. Τῶν νομοθετῶν μαλιστα (avv.) ὀνομαστοί εἰσιν ἐν Σπάρτῃ μὲν Λυκοῦργος, ἐν Ἀθήναις δὲ Δράκων, Σόλων καὶ Κλεισθένης ("Draconte, Solone e Clistene", sogg.). Οἱ τοῦ Λυκούργου νόμοι μὲν χρόνιοί εἰσιν· ὁ κλεινος νομοθέτης γὰρ ὡς θεὸς θεραπεύεται. Ὁ Πεισίστρατος δὲ ἐν ταῖς Ἀθήναις τῆς ἀρχῆς τυγχάνει ἀλλὰ ὡς τύραννος, οὐχ ὡς νομοθετης. Ὁ τύραννος μέντοι (partic.) μετὰ διανοίας τοῦ δήμου ἄρχει, καὶ μετὰ τὴν τελευτὴν τὴν ἀρχὴν δέχονται οἱ αὐτοῦ υἱοί. Ἱππίας δὲ καὶ Ἵππαρχος, οἱ τοῦ τυράννου υἱοί, οὐκ ἀγαθοι καὶ δίκαιοί εἰσιν, ἀλλὰ ὑβρισταὶ καὶ βίαιοι· διόπερ ("perciò") ὁ μὲν Ἱππίας ὑπὸ τοῦ δήμου ἀπελαύνεται, ὁ δὲ Ἵππαρχος κτείνεται.

LAVORIAMO SULLE **COMPETENZE**

Competenze linguistiche

a. Individua e analizza tutte le forme di aggettivi a tre uscite presenti nel brano
b. Nell'espressione ὡς θεὸς θεραπεύεται (r. 6) che funzione logica ha θεός?
c. τῆς ἀρχῆς (r. 6): che valore ha questo genitivo?
d. μετὰ τὴν τελευτήν (r. 8): che complemento esprime?
e. ὑπὸ τοῦ δήμου (r. 10): che complemento esprime?

Competenze lessicali

f. Qual è il significato dell'aggettivo χρόνιος e da quale sostantivo deriva? Sai indicare altri derivati?
g. Scrivi gli antonimi degli aggettivi presenti nell'espressione ἀγαθοὶ καὶ δίκαιοι (r. 9).
h. Che cosa significa il termine ὑβριστής e quali altre parole conosci che derivano dalla medesima radice?

Comprensione

i. Come governa Pisistrato ad Atene?



▶ Riproduzione del ritratto di Solone, Roma, Museo Nazionale Romano

2 Gli aggettivi sostantivati

SCHEDA MORFOSINTATTICA

Anche in greco, come in italiano e in latino, l'aggettivo può essere sostantivato, essere usato cioè con le stesse funzioni di un sostantivo. In tal caso è sempre preceduto dall'articolo e può indicare:

- **al maschile e al femminile** un individuo oppure una classe di persone che condividono una stessa qualità;

σοφός, -ή, -όν (saggio)	ὁ σοφός, il saggio
νέος, -α, -ον (giovane)	ἡ νέα, la giovane
πονηρός, -ά, -όν (malvagio)	οἱ πονηροί, i malvagi
ξένος, -η, -ον (straniero)	αἱ ξέναι, le straniere

- **al neutro** un concetto astratto.

καλός, -ή, -όν (bello)	τὸ καλόν, il bello
ἀγαθός, -ή, -όν (buono)	τὸ ἀγαθόν, il bene
καλός, -ή, -όν (bello)	τὰ καλά, le cose belle
ἀγαθός, -ή, -όν (buono)	τὰ ἀγαθά, le cose buone, i beni

DDI
Lettura espressiva delle versioni

TRADUCI

Per facilitarti nella traduzione, ricorda che in questa sezione di esercizi si usano vocaboli tratti dal Lessico frequente, dal Lessico tematico e altri vocaboli che troverai registrati in fondo al volume.

ESERCIZIO
Aggettivi sostantivati

13. Analizza e traduci le seguenti frasi. Le strutture morfosintattiche che hai appena studiato sono evidenziate in grassetto.

1. Ταπεινὸς ὁ **τῶν πονηρῶν** βίος, ὁ δὲ **τῶν σοφῶν** ἄξιος ἐπαίνου **2.** Ὁ **ἄδικος** οὐδέποτε ἡσυχός ἐστιν. **3.** Ἐσθλόν ἐστι **τὸ** μὲν **καλὸν** πράττειν, **τὸ** δὲ **κακὸν** ἐκφεύγειν. **4.** **Τοὺς** μὲν **χρηστοὺς** τῶν ἀνθρώπων στέργομεν, **τοὺς** δὲ **πονηροὺς** ἐχθαίρομεν. **5.** Ἐπειδὴ ὁ ἄργυρος τὴν εὐδαιμονίαν οὐ τίκτει, πολλάκις **οἱ πλούσιοι** ἄθλιοί εἰσιν. **6.** Τῶν δεσποινῶν **ἡ** μὲν **ἀγαθὴ** τῇ οἰκίᾳ εὐδαιμονίαν τε καὶ εὐφροσύνην παρέχει, **ἡ** δὲ **κακὴ** φθοράν **7.** Πολλάκις **οἱ ξένοι** τῶν δεινῶν συμφορῶν αἴτιοι νομίζονται, ἀλλ' ἡ ἀληθινὴ αἰτία ἐν τῇ ἀγνοίᾳ ὑπάρχει. **8.** **Τὰ** μὲν **δίκαια** ἀεὶ στέργετε, ὦ νεανίαι, **τὰ** δὲ **πονηρὰ** φεύγετε, εἰ ἀγαθοὶ γίγνεσθαι βούλεσθε **9.** Ῥᾴδιόν ἐστι **τὰ καλὰ** λέγειν, χαλεπὸν δὲ **τὰ ἀναγκαῖα** πράττειν. **10.** Ὁ **σοφὸς τὰ χρηστὰ** συμβουλεύει **11.** **Τοὺς γνησίους τῶν φίλων** αἱ συμφοραὶ δοκιμάζουσιν. **12.** Δίκαιόν τε καὶ ἀγαθόν ἐστι **τοῖς σοφοῖς** πείθεσθαι.

PAROLE IN PRIMO PIANO

L'aggettivo ἱκανός e il verbo ἱκνέομαι

- L'aggettivo **ἱκανός, -ή, -όν** è riferito a persone o cose e presenta sostanzialmente tre significati:

1. **sufficiente, adeguato** (εἰς, ἐπί, πρός + accusativo = "a qualcosa"),

   Ἡ στρατιὰ τὰ **εἰς φορβὴν ἱκανὰ** πρόβατα ἀπάγει.
   L'esercito conduce via bestiame **sufficiente** al **vettovagliamento**.

2. **idoneo, adatto** (εἰς, ἐπί, προς + accusativo = "a qualcosa"; ἐπί, πρός + dativo = "per qualcosa");

   Τὰ ὅπλα **ἐπὶ τοὺς ὁπλίτας ἱκανά** εἰσιν.
   Le armi sono **adatte agli opliti**.

3. **capace di, in grado di**; la cosa di cui si è capaci può essere espressa (a) con un sostantivo al dativo o all'accusativo oppure (b) con un infinito o con una subordinata con ὥστε + infinito.

   Ὁ Ἱπποκράτης **τὴν ἰατρικὴν τέχνην ἱκανὸς** ἦν.
   Ippocrate era **capace nell'arte medica**.

   Ὁ ἐσθλὸς ναύτης **ἱκανός** εστι **(ὥστε) ὑπομένειν** παντοδαποὺς πόνους.
   Il bravo marinaio è **in grado di affrontare** fatiche di ogni genere.

- L'aggettivo ικανος appartiene alla stessa famiglia dei **verbi ἱκάνω e ἱκνέομαι**, il cui significato base è "giungere", ικανός è dunque "ciò che, per quantità o qualità, consente di raggiungere un dato obiettivo". Quanto a ικνέομαι in particolare, osserviamo che esso è impiegato sostanzialmente in cinque distinte accezioni:

1. **giungere** (εἰς, ἐπί, πρός + accusativo = "da qualche parte");

   Οἱ ἄγγελοι **εἰς τὸν** τοῦ τυράννου **δόμον ἱκνέονται**.
   I messaggeri **giungono al palazzo** del tiranno.

2. **raggiungere** (+ accusativo = "qualcosa");

   Ἡ βολὴ **τὴν κνήμην ἱκνέεται**.
   Il dardo **raggiunge la gamba**.

3. **cogliere** (detto di sentimenti e stati d'animo);

   Ὁ τῆς ἀλόχου πόθος **τὸν στρατιώτην ἱκνέεται**
   La nostalgia della sposa **coglie il soldato**.

4. **giungere supplice, supplicare, pregare** (si costruisce con l'accusativo della persona cui si rivolge la supplica e l'infinito di ciò che si richiede);

   Οἱ πολῖται **τοὺς θεοὺς** τοῖς στρατιώταις εὐνοέειν **ἱκνέονται**.
   I cittadini **supplicano gli dèi** di essere benevoli verso i soldati.

5. **addirsi**, solo impersonale alla 3ª persona singolare (si costruisce con l'accusativo della persona cui si addice qualcosa e l'infinito di ciò che si addice).

   Τοὺς ἀγαθοὺς πολίτας τοῖς νόμοις ἐμμένειν **ἱκνέεται**
   Si addice ai buoni cittadini rispettare le leggi.

ESERCIZIO
ἱκανός e ἱκνέομαι

14. **Traduci le seguenti frasi attribuendo a ἱκανός e a ἱκνέομαι il significato più appropriato. Le strutture morfosintattiche che hai appena studiato sono evidenziate in grassetto.**

1. Ὁ νομοθέτης τὴν πολιτικὴν τέχνην **ἱκανός** ἐστιν. **2.** Ὁ ἀνδρεῖος στρατιώτης **ἱκανός** ἐστι μάχεσθαι τοῖς ἰσχυροῖς πολεμίοις. **3.** Ὁ καπνὸς τῆς θυσίας εἰς τὸν λαμπρὸν οὐρανὸν **ἱκνέεται**. **4.** Οἱ λῃσταὶ τὴν ὅλην λείαν κατακρύπτειν βούλονται, ἀλλ' **ἱκανὸν** τόπον οὐχ εὑρίσκουσιν **5.** Τοὺς ἐσθλοὺς στρατιώτας ὑπὲρ τῆς ἐλευθερίας μάχεσθαι **ἱκνέεται**. **6.** Διὰ τὰς τοῦ ὑπεροπτικοῦ σατράπου ἀπειλὰς φόβος τε καὶ ὀργὴ τοὺς πολίτας **ἱκνέονται** **7.** Τὰ τῶν πολεμίων πλοῖα οὐκ ἀνάγονται, ἐπεὶ ὁ πρὸς εὔπλοιαν **ἱκανὸς** ἄνεμος οὐ πνέει **8.** Οἱ πολέμιοι τῆς ἑσπέρας ("di sera") ἐπὶ τὸν ποταμὸν **ἱκνέονται** καὶ στρατοπεδεύουσι. **9.** Ὁ στρατηγὸς ὑπὸ τῶν πολεμίων τιτρώσκεται καὶ μαχεσθαι **ἱκανὸς** οὐκ ἔστιν. **10.** Στρατεύονται οἱ νέοι ὅτε ἥβην **ἱκνέονται**.

VERSIONE
Difficoltà

33 Dedalo e Icaro fuggono dal labirinto di Creta

Il celebre architetto e inventore Dedalo riceve da Minosse, re di Creta, l'incarico di costruire il labirinto, un'impressionante struttura destinata ad accogliere il mostruoso Minotauro. Ultimata l'opera, Minosse ordina che Dedalo e suo figlio Icaro vi siano rinchiusi.

Δαίδαλος θαυμαστός τε καὶ ἱκανὸς τεχνίτης νομίζεται. Τῶν παντοδαπῶν τοῦ Δαιδάλου ἔργων σεμνόν ἐστιν ὁ Κνώσσιος Λαβύρινθος ἐν Κρήτῃ. Ὁ Μίνως, ὁ τῆς νήσου τύραννος, τὸν Λαβύρινθον τεύχει, ὅτι ἐκεῖ τὸν Μινώταυρον εἴργειν βούλεται. Ὁ δὲ Μινώταυρος φοβερός τε καὶ ὡμός ἐστι· ἀνθρώπινος γὰρ εἶναι φαίνεται, ἀλλὰ ταύρειαν κεφαλὴν ἔχει καὶ τοὺς ἀνθρώπους βιβρώσκει. Ἐκ τοῦ Λαβυρίνθου ἡ ἔξοδος χαλεπή ἐστι διὰ τὰς σκολιὰς τε καὶ συχνὰς ὁδούς. Ἐπεὶ δὲ ἡ οἰκοδομία ἑτοίμη ἐστίν, ὁ Δαίδαλος σὺν τῷ υἱῷ Ἰκάρῳ ἐν τῷ Λαβυρίνθῳ ὑπὸ Μίνω εἴργεται· οὕτως γὰρ κατὰ τὴν τοῦ τυράννου γνώμην ("secondo l'intenzione del sovrano") τὰ τοῦ Λαβυρίνθου κρυπτὰ εἰς ἀεὶ ("per sempre") φυλάσσεσθαι δύναται. Ἀλλ' ὁ Δαίδαλος κήρινα πτερὰ ἐργάζεται καὶ σὺν τῷ υἱῷ φεύγει.

LAVORIAMO SULLE **COMPETENZE**

Competenze linguistiche

a. νομίζεται (r. 1): la diatesi è media o passiva?
b. τεύχει (r. 3): il verbo in questo contesto ha valore causativo; che cosa significa?
c. Individua gli aggettivi sostantivati presenti nella versione.

Competenze lessicali

d. Δαίδαλος è un nome proprio ma anche un aggettivo: cerca il suo significato su vocabolario e prova a spiegarlo.
e. Analizza il composto οἰκοδομία (r. 6).

Comprensione

f. Perché Minosse rinchiude Dedalo e Icaro nel labirinto?

VERSIONE
Difficoltà

34 Guarigioni miracolose a Epidauro

Nel santuario di Epidauro si assiste a guarigioni miracolose grazie all'intervento del dio Asclepio.

Ἐν Ἐπιδαύρῳ μὲν σεμνὸν **ἱερὸν** τοῦ **ἰατρικοῦ** θεοῦ Ἀσκληπιοῦ κεῖται καὶ αὐτὸ ὀνομάζεται Ἀσκληπιεῖον. Εἰς τὸ ἱερὸν δὲ ἱκνέονται οὐ μόνον οἱ Ἐπιδαύριοι ἀλλὰ καὶ οἱ ξένοι ἀπὸ ἑσχάτων χωρῶν· οἱ τοῦ θεοῦ ἱκέται γὰρ δεινὰς νόσους κάμνουσι καὶ οἱ ἰατροὶ

πικροῖς φαρμάκοις αὐτοὺς θεραπεύειν οὐ δύνανται. Ὁ θεὸς δὲ ἰάεται τοὺς ἀρρώστους ἐν ὕπνῳ· ὁ ἄρρωστος ἱκέτης γὰρ ἐν τῷ τοῦ ἱεροῦ **ἀβάτῳ** μίαν νύκτα ("per una sola notte") καθεύδει καί, ὅτε ἐγείρεται, **ὑγιαίνει**. Μετὰ τὴν θαυμαστὴν θεραπείαν ὁ γενναῖος ἱκέτης μακρὰ **ἱερὰ** τῷ θεῷ θύει, ἐν τοῖς **θερμοῖς** τὴν ἡμέραν διάγει καὶ ἑσπέρας τῶν λαμπρῶν ποιητῶν ἐν τῷ θεάτρῳ ἀκούει.

LE **PAROLE** E IL LORO **CONTESTO**

Nella tabella sottostante trovi le parole in grassetto nel testo. Ponendole in rapporto con il contesto, completa la tabella scrivendo il traducente adatto o motiva quello proposto.

Vocabolo greco	Traducente	Contesto semantico
ἱερόν	"tempio"	
ἰατρικοῦ		Sulla base del contesto scegli tra l'accezione di "medico" o "esperto in medicina", "abile a curare".
ἀβάτῳ		Sulla base del contesto scegli la giusta accezione sostantivata.
ὑγιαίνει		Sulla base del contesto scegli tra il significato di "essere sano" o "tornare in salute".
ἱερά		Trova la giusta accezione sostantivata al neutro plurale.
θερμοῖς	"bagni caldi"	



▶ Scena di Amazzonomachia proveniente dal tempio di Asclepio a Epidauro

3 Gli aggettivi a due uscite e della declinazione attica

Grammatica cap. 7, parr. 2-3 ▶ pp. 50-52

Lessico frequente 12

Aggettivi a due uscite ad alta e media frequenza

ἄδηλος, -ον = oscuro, incerto, ignoto
ἄδικος, -ον = ingiusto
ἀδύνατος, -ον = impossibile, incapace
ἀθάνατος, -ον = immortale
ἀνάξιος, -ον = indegno
ἀνόητος, -ον = stolto
ἄπιστος, -ον = infedele
ἄπορος, -ον = invalicabile, difficile
ἀπόρρητος, -ον = segreto, vietato
(δι' ἀπορρήτων = in segreto, di nascosto)
ἄτοπος, -ον = strano, inopportuno, sconveniente
γνώριμος, -ον = noto
διαφορος, -ον = diverso, superiore
δύσβατος, -ον = di difficile accesso, impraticabile
ἔνδοξος, -ον = famoso
ἔρημος, -ον = solitario, deserto
εὔπορος, -ον = facile, ricco, ingegnoso
παράνομος, -ον = illegale
προθυμος, -ον = ben disposto, volenteroso
ταλαίπωρος, -ον = misero, sventurato
φρονιμος, -ον = intelligente
ὠφέλιμος, -ον = utile

Aggettivi della declinazione attica

ἀγήρως, ἀγήρων = che non invecchia
ἵλεως, ἵλεων = benevolo
πλέως, πλέων = pieno
σῶς, σῶν = salvo, incolume, protetto
φιλόγελως, φιλόγελων = amante del riso

RAGIONA CON IL LESSICO

ESERCIZIO
Etimologia

15. Molti degli aggettivi compresi nel Lessico frequente 12 sono dei composti. Te ne proponiamo alcuni, invitandoti a ricostruirne la formazione, possibilmente senza l'aiuto del vocabolario.

Aggettivo	Formazione	Significato
1. ἀδύνατος	ἀ- privativo + δύναμαι "potere"	"impossibile"
2. ἄπορος		
3. δύσβατος		
4. ἔνδοξος		
5. εὔπορος		
6. παράνομος		
7. πρόθυμος		

ESERCIZIO Antonimi

16. **Individua nel Lessico frequente 12 gli antonimi dei seguenti aggettivi e trascrivili.**

1. ἄχρηστος
2. εὔβατος
3. νόμιμος
4. φανερός
5. ὁμοῖος
6. κενός
7. ἄδοξος
8. ἄξιος
9. μακάριος

ESERCIZIO Elimina l'intruso

17. **Ciascuno dei seguenti aggettivi è associato a tre termini, due dei quali appartenenti alla stessa famiglia. Cerca i significati sul vocabolario e quindi elimina l'intruso.**

1. φρόνιμος =
   a. φροῦδος =
   b. φροντιστής =
   c. φροντίζω =
2. ταλαίπωρος =
   a. ταλαιπωρία =
   b. ταλαντεύω =
   c. ταλαιπωρίζω =
3. ἔρημος =
   a. ἔρως =
   b. ἐρημόω =
   c. ἐρημία =
4. σῶς =
   a. σωτηρία =
   b. σῴζω =
   c. σῶμα =
5. πλέως =
   a. πλεονάζω =
   b. πλεονέκτης =
   c. πλεύμων =
6. γνώριμος =
   a. γνύπετος =
   b. γνωρίζω =
   c. γνώμη =

PREPARATI ALLA TRADUZIONE

I seguenti esercizi attingono sia al Lessico frequente sia al Lessico tematico e ti permettono di verificare se hai imparato a:

- declinare un aggettivo della prima classe a due uscite e della declinazione attica;
- riconoscere e tradurre correttamente un aggettivo della prima classe a due uscite e della declinazione attica.

ESERCIZIO Flessione

18. Declina le seguenti coppie di sostantivi e aggettivi.

1. ὁ ναύτης + σῶς
2. ἡ νίκη + ἀδύνατος
3. ὁ λόφος + δύσβατος
4. τὸ δῶρον + ὠφέλιμον
5. ὁ φιλόσοφος + ἔνδοξος
6. ἡ θεά + ἵλεως
7. ἡ νῆσος + ἔρημος
8. ὁ πόλεμος + ἄδικος
9. τὸ πλοῖον + πλέων
10. ἡ δέσποινα + ἀνόητος

ESERCIZIO Accordo

19. Collega il sostantivo all'aggettivo corrispondente, quindi traduci.

1. τὴν βασίλειαν	a. ἵλεφ
2. τοὺς θεούς	b. ἀνάξιον
3. αἱ χῶραι	c. πρόθυμε
4. τὴν ἧτταν	d. δύσβατοι
5. τῷ ναύτῃ	e. ἀθανάτους
6. ὦ θεράπαινα	f. φρονίμου
7. τὰ σημεῖα	g. ταλαιπώρῳ
8. αἱ κόραι	h. ἀδύνατα
9. ἡ στρατιά	i. ἵλεων
10. τῆς δεσποίνης	l. σῶς

ESERCIZIO Flessione e accordo

20. Concorda i seguenti aggettivi con i sostantivi indicati, quindi traduci.

1. ἄπιστος
   - θεραπαίνας _____ trad. _____
   - οἰκέται _____ trad. _____
   - ζῷον _____ trad. _____
2. ἄπορος
   - νήσου _____ trad. _____
   - χώρᾳ _____ trad. _____
   - λόφους _____ trad. _____
3. σῶς
   - πολίτης _____ trad. _____
   - στρατιῶται _____ trad. _____
   - ἔργα _____ trad. _____

ESERCIZIO
Dall'italiano al greco

21. Completa le seguenti frasi, inserendo gli aggettivi richiesti dalle traduzioni.

1. Ἡ τῆς ἀρχαίας ἀρετῆς μνήμη πολλάκις ἐστίν.
Il ricordo della gloria antica è spesso utile.
2. Αἱ θεράπαιναι τῇ δεσποίνῃ οὐ πείθονται.
Le ancelle infedeli non ubbidiscono alla padrona.
3. Ὦ θεά, τῆς ἐμῆς εὐχῆς ἄκουε.
O dea, ascolta benevola la mia preghiera!
4. Τοὺς μαθητὰς ὁ διδάσκαλος ἐγκωμιάζει.
Il maestro loda gli allievi intelligenti.
5. Ταῖς φίλαις τὰ μήποτε φαίνεσθε, ὦ παρθένοι.
Ragazze, non rivelate mai i (vostri) segreti alle amiche infedeli!
6. Ὁ ποιητὴς ᾄδει τὰς φδάς.
Il famoso poeta canta utili canti.
7. Οἱ ναῦται οὐκ πλέουσι διὰ τῆς πορείας.
I marinai non navigano attraverso il passaggio di difficile accesso

ESERCIZIO DI SINTESI
Lessico frequente e Lessico tematico

22. Traduci le seguenti frasi senza vocabolario.

1. Ὁ φρόνιμος δῆμος ἀκούει τὸν λόγον.
Ὁ φρόνιμος δῆμος ἀκούει τὸν ὠφέλιμον λόγον.
Ὁ φρόνιμος δῆμος ἀκούει τὸν ὠφέλιμον λογον τοῦ ἐνδόξου φιλοσόφου.
Ὁ φρόνιμος δῆμος ακούει τὸν ὠφέλιμον λόγον τοῦ ἐνδόξου φιλοσόφου ἐν τῷ εὐπόρῳ πεδίῳ.

2. Ἡ φρόνιμος βασίλεια συνίησι τὴν γνώμην.
Ἡ φρόνιμος βασίλεια συνίησι τὴν ἄδηλον γνώμην.
Ἡ φρόνιμος βασίλεια συνίησι τὴν ἄδηλον γνώμην τῆς Ἴλεω ἱερείας.
Ἡ φρονιμος βασιλεια συνίησι τὴν ἄδηλον γνωμην τῆς Ἴλεω ἱερείας ἐν ἐρήμῳ χρηστηρίῳ.

3. Ὁ μαθητὴς φιλόγελώς ἐστιν.
Ὁ ἀνόητος μαθητὴς φιλόγελώς ἐστιν.
Ὁ ἀνόητος μαθητὴς φιλόγελώς ἐστιν καὶ οὐκ ἐγκωμιάζεται ὑπὸ τοῦ ἐνδόξου διδασκαλου
Ὁ ἀνόητος μαθητὴς φιλόγελώς ἐστιν καὶ οὐκ ἐγκωμιάζεται ὑπὸ τοῦ γνωρίμου καὶ φρονίμου διδασκάλου.

4. Οἱ μύσται ἀδήλους θυσίας θύουσιν.
Οἱ πρόθυμοι μύσται ἀδήλους θυσίας θύουσιν.
Οἱ πρόθυμοι μύσται δι' ἀπορρήτων ἀδήλους θυσίας θύουσιν.
Ἐν ἐρήμω χωρᾳ οἱ προθυμοι μυσται δι' ἀπορρητων ἀδήλους θυσίας θύουσιν.

5. Ὁ ταλαίπωρος ναύτης ἐν τῷ πόντῳ πλέει.
Ὁ ταλαίπωρος ναύτης εν τῷ πόντῳ πλέει καί, ἐπεὶ ἡ θύελλα γίγνεται, τοῖς θεοῖς Ἴλεῳς εὔχεται
Ὁ ταλαίπωρος ναύτης ἐν τῷ πόντῳ πλέει καί, ἐπεὶ η θύελλα γίγνεται, τοῖς θεοῖς Ἴλεῳς εὔχεται καὶ εἰς τὴν νῆσον ἱκνέεται.
Ὁ ταλαίπωρος ναύτης ἐν τῷ πόντω πλέει καί, ἐπεὶ ἡ θύελλα γίγνεται, τοῖς θεοῖς Ἴλεῳς εὔχεται καὶ εἰς τὴν ἔρημον νῆσον σῶς ἱκνέεται.

ESERCIZIO DI SINTESI
Lessico frequente e Lessico tematico

23. **GIRA LA RUOTA** **Memorizza il lessico giocando con la ruota e completa dove è necessario con le parole che hai studiato.**


Τὰ κακά
Οἱ ἀγαθοί
Τὰ ἀγαθά
Οἱ κακοί
Οἱ τοῦτοι
θαυμάσιος
straordinario
λαμπρός
μικρός
piccolo
μέσος
solitario
violenta
βίαιος
ἀδικέω
ἐχθρός
ἀνήρ
ἀγαθός
καλός
ἀγαθός
ἀγαθός
ἀγαθ

χώραις τρέφουσιν. **6.** Τοῖς μὲν ἀνθρωποις ἡ Μοῖρα **ἄδηλός** ἐστι, τοῖς δὲ θεοῖς οὔ. **7.** Τῷ ἀνθρώπῳ **ἀδύνατόν** ἐστι τὰς τῶν θεῶν **ἀπορρήτους** γνώμας γιγνώσκειν. **8.** Οἱ στρατιῶται **δι' ἀπορρήτων** πρὸς τὸ τῶν πολεμίων στρατόπεδον ἐγγίζουσι καὶ τοὺς **ἀδοκήτους** φρουροὺς σφάζουσιν. **9.** Οἱ **ἀθάνατοι** θεοί, ἐπεὶ τὸν ἄκρον Ὄλυμπον ναίουσι, Ὀλύμπιοι ὀνομάζονται. **10.** Οἱ Πέρσαι **σῷ** τὸν **ἄπορον** ποταμὸν διαβαίνουσιν. **11.** Μετὰ τὴν **ἀπροσδόκητον** τῶν πολεμιων νίκην ὁ δῆμος τοὺς ὑπάτους σὺν **ἀπαύστῳ** κρότῳ καὶ ισχυρᾷ βοῇ εἰς τὴν Ρώμην ὑποδέχεται. **12.** Ἡ Ἰνδικὴ χώρα οὐ μόνον **πάμφορός** ἐστι **ἡμέροις** καρποῖς, ἀλλὰ καὶ παντοδαπὰ **κατάγεια** μέταλλα ἔχει. **13.** Ἡ τῶν νομοθετῶν σωφροσύνη χρησιμους καὶ **εὐδόξους** νομους τοῖς πολίταις παρέχει. **14.** Τὰ μὲν ὅπλα τοῖς στρατιώταις, τὰ δὲ ἄροτρα τοῖς **προθύμοις** γεωργοῖς χρήσιμά ἐστιν

ESERCIZIO
Aggettivi a due uscite della prima classe e della declinazione attica

25. Analizza e traduci le seguenti frasi.

1. Οἱ τῶν θεῶν νεὼ πλέω τῶν θησαυρῶν εἰσιν **2.** Μετὰ τὴν ναυαγίαν ὁ σῶς ναύτης εἰς τὴν ἔρημον νῆσον ἥκει. **3.** Ὁ ταλαιπωρος ὁδίτης διὰ τῆς δυσβάτου καὶ ἐρήμου χώρας πορεύεται **4.** Ἐν τῇ Ἀρμενίᾳ οἱ Καρδοῦχοι ὑπογείους οικίας ἔχουσι αἱ δ' εἴσοδοι τοῖς μὲν ὑποζυγίοις ὀρυκταί εἰσιν, τοῖς δὲ ἀνθρώποις διὰ κλιμακίων **5.** Ἐν τῇ μάχῃ αἱ τῶν πολεμίων μάχαιραι ἄχρηστοί εἰσιν, ἐπεὶ οἱ τῶν Ἀθηναίων γυμνῆται μακρὰς αἰχμὰς πόρρωθεν ἀκοντιζουσι. **6.** Ὁ μεν ἔμπειρος στρατηγος διὰ τῆς δυσβάτου στενοχωρίας δι' ἀπορρήτων πορεύεται, τῇ δὲ τῶν πολεμιων ατάκτῳ στρατιᾷ επτίθεται καὶ ῥαδίας νίκης τυγχανει. **7.** Οἱ θεοὶ καὶ ἡ τύχη ἀελπτῳ εὐμενεία βοηθεουσι ταῖς τοῦ τολμηροῦ στρατηγοῦ παραδόξοις ἐπιβολαῖς οὕτως ὁ τύραννος αλίσκεται καὶ ἡ τῶν πολεμίων φοβερὰ στρατιὰ εἰς φυγὴν τρέπεται. **8.** Οἱ ἄποικοι ἐκ τῆς ἀνύδρου χώρας ἀνάγονται καὶ πρὸς τὴν χλοεράν τε καὶ εὔκαρπον νῆσον προσορμίζονται. **9.** Οἱ Ἀθηναῖοι τῆς δουλειας ἄπειροι εἰσι, οἱ δὲ Περσαι ἔμπειροι. **10.** Ἀκούετε ἀει τὰς φρόνιμους συμβολὰς τῶν φίλων. **11.** Πολλάκις οἱ ταπεινοὶ καὶ οἱ ἀδύνατοι ὑπὸ τῶν δυνατῶν καὶ ἰσχυρῶν ἀδικέονται **12.** Οἱ Ἰλλυριοὶ ναίουσιν ἐν ἀγνώστῳ χώρᾳ πρὸς ἄρκτον.

VERSIONE
Difficoltà

35 Pisistrato e i suoi figli

Pisistrato con uno stratagemma conquista il potere ad Atene, governa con umanità e gli Ateniesi alla sua morte scelgono come successori i suoi figli Ippia e Ipparco.

Ὁ μὲν Πεισιστρατος, γνώριμος Ἀθηναίων πολίτης, ἑαυτὸν ("sé stesso", acc. m. sing.) τραυματίζει καὶ εἰς τὴν ἀγορὰν τὴν ἅμαξαν ἐλαύνει Ἔπειτα δὲ τοὺς Ἀθηναίους ἀθροίζει, καὶ πρὸς τὸν δῆμον λέγει «Κακὰ πάσχω οἱ γὰρ ἐχθροί βούλονταί με ("me", acc. m. sing.) ἀποκτείνειν ἐπει φίλος τοῦ δήμου εἰμι» Ὁ δὲ ἀνόητος δῆμος οὖν ὀργίζεται καὶ την τοῦ δημοτικοῦ ανθρώπου ζωην φυλάσσειν βουλεται ψηφίζεται τῷ Πεισιστρατῳ πεντήκοντα ("cinquanta") κορυνηφορους φυλακὴν διδοναι (οὕτως ονομάζονται ἐπεὶ ξυλίνας κορυνας φέρουσιν). Ἀλλ' ὁ Πεισίστρατος σὺν τοῖς κορυνηφόροις τὴν ἀκρόπολιν καταλαμβάνει και τῶν Ἀθηνῶν τύραννος γίγνεται. Ὁ δε Πεισίστρατος τῶν Ἀθηναίων ἄρχει, ὡς ("come") λεγει Θουκυδίδης ο ἑνδοξος ιστοριογράφος, μετὰ φιλανθρωπίας οὔτε γὰρ τιμὰς συνταράσσει, οὔτε θεσμους μεταλλάσσει, ἀλλὰ τοὺς κυριους νόμους σῴζει. Τοιγαροῦν ("Perciò") μετὰ την τοῦ Πεισιστράτου τελευτὴν ὁ ἴλεως δῆμος τοὺς αὐτοῦ υἱοὺς Ἱππίαν καὶ Ἵππαρχον τυράννους δέχεται.

LAVORIAMO SULLE **COMPETENZE**

Competenze linguistiche

a. Individua e analizza tutte le forme di aggettivi a due uscite e della declinazione attica presenti nel brano.

b. κακά: che valore ha l'aggettivo nella frase Κακὰ πάσχω (r. 3)?
c. οἱ .. ἐχθροί (r. 3): come si traduce?
d. ὀνομάζονται (r. 6). qual è il soggetto di questa forma verbale?
e. σὺν τοῖς κορυνηφόροις (r. 7) come si traduce questo complemento?

Competenze lessicali
f. Ricostruisci l'etimologia dell'aggettivo γνώριμος.
g. Con l'aiuto del dizionario, ricostruisci tutti i significati del verbo πάσχω. Quali parole italiane conosci che derivano dalla medesima radice?
h. Qual è l'etimologia del sostantivo ἱστοριογράφος?

Comprensione
i. Perché Pisistrato si ferisce da solo?

VERSIONE
Difficoltà

36 Vita da isolani

Nelle isole greche dell'Egeo si conduceva nell'antichità una vita semplice: i luoghi erano spesso aspri, difficili da attraversare e da coltivare; gli unici contatti con il mondo esterno erano rappresentati dai mercanti e dagli stranieri che si recavano a rendere omaggio al re.

Ἐν τῷ Αἰγαίῳ νῆσός εστι καλὴ μέν, ἀπόκρημνος δὲ καὶ δυσγεώργητος. Οὐκ εἰσὶν ὁδοὶ οὐδ᾽ εὔκολον ἐστι τῇ ἁμάξῃ πορεύεσθαι· ἄχρηστοι μὲν οὖν οἱ ἵπποι, οἱ δ᾽ ἡμίονοι χρηστοί. Ἐκεῖ δ᾽ οὖν οἱ ἄνθρωποι ἀναρίθμητα πρόβατα νέμουσιν, ὀλίγους δὲ καρποὺς ἀπὸ τῶν δένδρων καὶ τῶν ἀμπέλων θερίζουσιν· Σπάνιοι δ᾽ οἱ ἔμποροι ἀπὸ τῶν πλησίων νήσων ἔρχονται· πολλάκις γὰρ σφοδραὶ θύελλαι τὴν πορείαν κωλύουσιν. Οἱ δ᾽ ἔμποροι σίδηρον καὶ δούλους εἰσφέρουσιν καὶ ἐν τῇ εὐρυχώρῳ ἀγορᾷ πολυτίμητα ὤνια πωλέουσιν· τοῖς μὲν θαρραλέοις νεανίαις μαχαίρας, τόξα, πολεμικὰ καὶ κυνηγετικὰ ὅπλα, ταῖς δὲ νέαις παρθένοις ποικίλα ἱμάτια. Ὅτε δ᾽ ἀνάγονται, ἀποφέρουσιν ἐριά τε καὶ οἶνον καὶ πρόβατα. Ἔρχονται δ᾽ ἐνίοτε καὶ ξένοι· φέρουσιν εἰς τὸ βασίλειον πλούσια δῶρα καὶ τῆς ἑσπέρας σὺν τοῖς γενναίοις νησιώταις ἐν τῷ μεγάρῳ ἀγείρονται· ἔνθα ὁ ῥαψῳδὸς τὸν πρὸς Ἴλιον πολυχρόνιον πόλεμον ᾄδει.

LAVORIAMO SULLE **COMPETENZE**

Competenze linguistiche
a. Individua tutti gli aggettivi a due uscite presenti nel brano e i sostantivi a cui si riferiscono.
b. τῇ ἁμάξῃ (r. 2) che caso è? Come lo giustifichi dal punto di vista sintattico?
c. ἄχρηστοι... χρηστοί (r. 2): che cosa è sottinteso?
d. εὐρυχώρῳ ἀγορᾷ (r. 6): declina questa coppia aggettivo-sostantivo per intero
e. θαρραλέοις νεανίαις (r. 7): che complemento è?
f. ἀνάγονται (r. 8): la diatesi è media o passiva? Quale significato legato all'ambito della navigazione presenta il verbo in questo contesto?
g. τῆς ἑσπέρας (r. 10). quale complemento esprime in questo caso il genitivo semplice?

Competenze lessicali
h. Analizza la formazione dell'aggettivo ἀναρίθμητος
i. Analizza la formazione del sostantivo ῥαψῳδός

Comprensione
j. Che cosa portano nell'isola i mercanti?

TRADUCI SENZA VOCABOLARIO

Leggi con attenzione il brano che contiene alcuni vocaboli tratti dal Lessico tematico e tenta di comprenderne il significato generale senza l'aiuto del vocabolario. Aiutati con le note esplicative in cui sono mostrati i termini derivati da quelli presenti nel testo (< o >), sinonimi (=), contrari (≠), parole di significato simile (≃). Infine, rispondi alle domande di comprensione.

VERSIONE

Difficoltà

37 Risorse e attività della Grecia antica

Una descrizione delle ricchezze della Grecia, dai frutti della terra alle pietre preziose, nei campi, nei boschi e nei fiumi l'uomo opera con diverse attività.

Ἡ Ἑλληνικὴ χωρα[1] μεστὴ[2] τῶν ἀγαθῶν[3] ἐστι. Ἡ γῆ παντοίους[4] καρποὺς[5] ἐκ τῶν δένδρων[6] τίκτει[7] καὶ μεταλλα[8] χρήσιμα[9] τοῖς ἀνθρώποις ἐστί· λίθοι[10] γαρ τίμιοι[11] ἐκ τῆς γῆς μεταλλεύονται[12] καὶ πλούσια[13] δῶρα[14] γιγνονται. Ἡ δὲ χώρα πλήθει[15] πεδίων[16], δρυμῶν[17] καὶ χαραδρῶν[18]. Οἱ γεωργοί[19] ἐν ταῖς ἀρούραις[20] διατρίβουσι[21], τὴν γῆν ἐργάζονται[22] καὶ ἐν τοῖς πεδίοις τὰ πρόβατα[23] βόσκουσιν[24]. Ἐν ταῖς ὕλαις οἱ ξυλοτόμοι[25] τὰ ξύλα συλλέγουσι[26] καὶ εις τὰς αυτῶν οἰκίας φέρουσι επει χιὼν ("inverno", nom. f. sing.) γίγνεται[27]. Ποταμοὶ ἀνάριθμοι[28] ῥέουσι[29] διὰ τῶν πεδίων καὶ τὰ ῥεῖθρα[30] αὐτῶν σφοδρά[31] ἐστιν. Διὰ ποταμῶν οἱ ἔμποροι[32] τὰ φορτία[33] πλοίοις[34] διαβιβάζουσιν[35].

1. χώρα ≃ γῆ
2. μεστός = πλέως.
3. (τὸ) ἀγαθόν < ἀγαθός.
4. παντοῖος ≃ ποικίλος, "vario", "multiforme".
5. καρπός = lat. *fructus*.
6. δένδρον ≃ φυτόν, "pianta", "albero"
7. τίκτω = ἐκφέρω, "produrre".
8. μέταλλον = lat. *metallum*, "miniera".
9. χρήσιμος ≃ χρηστός
10. λίθος = lat. *lapis*, "pietra".
11. τίμιος < τιμή, "prezzo".
12. μεταλλεύω < μέταλλον.
13. πλούσιος < πλοῦτος, "ricchezza"
14. δῶρον = lat. *donum*.
15. πλήθω = μεστός ἐστι = πλέως ἐστι.
16. πεδίον ≠ ὄρος, "monte".
17. δρυμός = ὕλη.
18. χαράδρα ≃ ποταμός.
19. γεωργός < γῆ + ἔργον.
20. ἄρουρα = ἀγρός.
21. διατρίβω = σπουδάζω, "essere impegnato".
22. ἐργάζομαι < ἔργον, "lavoro".
23. (τὰ) πρόβατα ≃ (τὰ) ζῷα.
24. βόσκω = τρέφω, "nutrire".
25. ξυλοτόμος < ξύλον, "legno" + τέμνω, "tagliare".
26. συλλέγουσι = σύν + λέγω, "raccogliere"
27. χιὼν γίγνεται = νίφει, "nevica".
28. ἀνάριθμος < ἀ- privativo + ἀριθμός, "numero".
29. ῥέω = lat. *fluo*, "scorrere".
30. (τὰ) ῥεῖθρα = (αἱ) ῥοαί, "correnti"
31. σφοδρός = ἰσχυρός.
32. ἔμπορος > it. emporio.
33. (τὰ) φορτία = ἐμπορία, "merce".
34. πλοῖον = σκάφη, "imbarcazione".
35. διαβιβάζω = πορθμεύω, "traghettare".

1. La Grecia è ricca di beni.	V	F
2. In Grecia non ci sono miniere.	V	F
3. Le correnti dei fiumi sono impetuose.	V	F
4. I fiumi non navigabili impediscono il commercio.	V	F

4 Posizione attributiva e predicativa

SCHEDA MORFOSINTATTICA

Osserva le seguenti frasi in italiano:

1. I libri **interessanti** avvincono il lettore.
2. I libri di Calvino risultano **interessanti**

Puoi notare che **nella frase 1 l'aggettivo fa parte del gruppo del nome**, ossia si lega direttamente a esso (si dice allora che l'aggettivo è usato in **funzione attributiva**), **nella frase 2 invece l'aggettivo fa parte del gruppo del verbo**, cioè non si lega al nome direttamente ma attraverso un verbo copulativo (si dice allora che l'aggettivo è usato in **funzione predicativa**). Anche in greco l'aggettivo può essere usato in funzione attributiva o predicativa, la sua posizione rispetto all'articolo ti aiuterà a capire quale delle due funzioni esso svolga in un dato contesto

▶ Funzione attributiva

L'aggettivo in funzione attributiva è **solitamente preceduto dall'articolo** e seguito dal sostantivo a cui si riferisce (**posizione attributiva**).

> Οἱ **ἀνδρεῖοι** στρατιῶται ὑπὲρ τῆς ἐλευθερίας μάχονται.
> I soldati **valorosi** combattono in difesa della libertà.

Spesso, per dare una certa enfasi all'enunciato, l'attributo può essere posposto al sintagma articolo + sostantivo; anche in questo caso, comunque, la funzione attributiva è indicata dalla **ripetizione dell'articolo prima dell'aggettivo**.

> Οἱ στρατιῶται οἱ **ἀνδρεῖοι** ὑπὲρ τῆς ἐλευθερίας μάχονται.
> *Lett.* I soldati **quelli valorosi** combattono in difesa della libertà.

Talvolta l'articolo può essere omesso; in tal caso l'aggettivo in funzione attributiva precede sempre il sostantivo cui si riferisce.

> **Μακρῷ** πόνῳ ὁ γεωργὸς τὴν γῆν ἐργάζεται.
> Con **grande** fatica il contadino lavora la terra.

▶ Funzione predicativa

L'aggettivo in funzione predicativa è accompagnato da εἰμι, o da un verbo che abbia valore copulativo, e **non è mai preceduto dall'articolo** (**posizione predicativa**).

> Οἱ στρατιῶται **ἀνδρεῖοί** εἰσιν
> I soldati sono **valorosi**.

> Οἱ στρατιῶται **ἀνδρεῖοι** ὑπὲρ τῆς ἐλευθερίας μάχονται.
> I soldati combattono in difesa della libertà **da valorosi/in quanto valorosi/se valorosi/valorosamente**.

Individuare correttamente la funzione dell'aggettivo è importante perché la traduzione nell'uno e nell'altro caso cambia sensibilmente.
A questo proposito ricorda che alcuni aggettivi (ἄκρος, "alto", "sommo"; μέσος, "mezzo"; μόνος, "solo", ὅλος, "tutto"; ἔσχατος, "ultimo", "estremo") assumono significati diversi a seconda che si trovino in posizione attributiva o predicativa.

ὁ **μέσος** ποταμός ὁ ποταμὸς ὁ **μέσος**	}	il fiume **che sta in mezzo**
ὁ ποταμὸς **μέσος** **μέσος** ὁ ποταμός	}	**il mezzo del** fiume
ὁ **ἄκρος** Ὄλυμπος ὁ Ὄλυμπος ὁ **ἄκρος** ὁ Ὄλυμπος **ἄκρος** **ἄκρος** ὁ Ὄλυμπος ὁ **μόνος** ἄνθρωπος ὁ ἄνθρωπος ὁ **μόνος** ὁ ἄνθρωπος **μόνος** / **μόνος** ὁ ἄνθρωπος ἡ **ἐσχάτη** χωρα ἡ χώρα ἡ **ἐσχάτη** ἡ χώρα **ἐσχάτη** **ἐσχάτη** ἡ χώρα		**il sommo** Olimpo **la cima** dell'Olimpo l'uomo **solo (solitario)** **solo** l'uomo la regione **estrema (la più lontana)** l'**estremità** della regione

DDI
Lettura espressiva delle versioni

TRADUCI

Per facilitarti nella traduzione, ricorda che in questa sezione di esercizi si usano vocaboli tratti dal Lessico frequente, dal Lessico tematico e altri vocaboli che troverai registrati in fondo al volume.

ESERCIZIO
Funzione attributiva e predicativa dell'aggettivo

26. **Analizza e traduci le seguenti frasi, prestando attenzione alla funzione attributiva (A) o predicativa (P) degli aggettivi evidenziati.**

1. Ὁ νεανίας τὸ βιβλίον τὸ **χαλεπὸν** ἀναγιγνώσκει. A P
2. Τὸ βιβλίον **χαλεπὸν** παρὰ τοῦ νεανίου νομίζεται. A P
3. Οἱ **χρηστοὶ** πολῖται τὸν νομοθέτην στέργουσιν. A P
4. Οἱ πολῖται τὸν σοφιστὴν **φρόνιμον** οἴονται A P
5. Οἱ **πρόθυμοι** μαθηταὶ τὸν διδάσκαλον ἀκούουσιν. A P
6. Οἱ μαθηταὶ **πρόθυμοι** τὸν διδάσκαλον ἀκούουσιν. A P
7. Ἐν τῷ **μέσῳ** τῷ ποταμῷ γέφυρά ἐστιν. A P
8. Οἱ πολέμιοι τοὺς στρατιώτας ἐν τῷ ποταμῷ **μέσῳ** ἐπιτίθενται. A P
9. Τῶν ζῴων **μόνῳ** τῷ ἀνθρώπῳ λόγος ἐστίν. A P
10. Τῷ **μόνῳ** ἀνθρώπῳ βίος κινδύνων μεστός ἐστιν A P
11. **Δίκαιον** τοὺς πενιχροὺς βοηθέειν νομίζεται. A P
12. Οἱ στρατιῶται **σῷ** εἰς τὰς Ἀθήνας ἀφικνέονται. A P
13. Οἱ **σῷ** στρατιῶται εἰς τὰς Ἀθήνας ἀφικνέονται. A P
14. Ὁ μαθητὴς **σοφοὺς** τοὺς διδασκάλους βούλεται. A P
15. Ὁ Ἀλέξανδρος εἰς τὴν χωραν τὴν **ἐσχάτην** πορεύεται A P

ESERCIZIO
Funzione attributiva e predicativa

27. **Analizza e traduci le seguenti frasi, prestando attenzione alla funzione attributiva o predicativa degli aggettivi evidenziati.**

1. Οἱ **ἀνδρεῖοι** Ἀθηναῖοι ὑπερ τῆς ἐλευθερίας μάχονται **2.** Ὁ κριτὴς **αἰτίους** τοὺς **πονηροὺς** λῃστὰς νομίζει. **3.** Οἱ **φαῦλοι** ἄνθρωποι τὸν βιον **μεστὸν** τῶν ἡδονῶν νομίζουσιν **4.** Κῦρος ὁ **ἀγαθὸς** οὐ μόνον **ἀνδρεῖος** ἀλλὰ καὶ **ἰσχυρός** ἐστιν. **5.** Ὁ τῆς ψυχῆς πλοῦτος **μόνος** ἐστὶ **βέβαιος**. **6.** **Κοινὰ** τῇ χαρᾷ καὶ τῇ λύπῃ τὰ δάκρυά ἐστιν. **7.** Ὁ πονηρὸς οὐ μόνον τοὺς τῶν θεῶν **ἱεροὺς** νεὼς μιαίνει, ἀλλα καὶ τοὺς τῶν ἀνθρώπων **δικαίους** νόμους παραβαίνει. **8.** Οἱ **ἀθάνατοι** θεοὶ ἐκ τοῦ **ὑψηλοῦ** Ὀλύμπου ἐνίοτε κατέρχονται καὶ τοῖς θνητοῖς ἀνθρώποις **Ὲεῳ** φαίνονται. **9.** Ἡ ἱστορια **ἀθάνατα** τὰ **θαυμαστὰ** τῶν ἀνθρώπων ἔργα ποιέει. **10.** Ἐν τῇ Ὀδυσσείᾳ ἡ θεὰ ἡ Ἀθηνᾶ τῷ **δολερῷ**

Λαερτιάδη μειρακίῳ **ὁμοία** φαίνεται. **11.** Ἐν τοῖς **ἀρχαίοις** ὕμνοις πολλάκις οἱ ποιηταὶ οἱ **σοφοὶ** τὴν **καλὴν** Ἀφροδίτην ἐπικαλέουσιν **12.** Τὰ τῶν **σπουδαίων** γεωργῶν ἔργα **ὠφέλιμα** καὶ ἐπαίνου **ἄξια** φαίνονται **13.** Ὁ στρατηγὸς ἐθέλει **ἀθάνατον** ἀπολείπειν μνήμην τῆς ἰδίας ἀρετῆς. **14.** Ὥσπερ ἡ σωφροσύνη τῇ ἀκολασίᾳ **ἐνάντιόν** ἐστι, οὕτω καὶ ἡ ἐγκράτεια τῇ ἀκρασίᾳ. **15.** Ἐν τῷ πεδίῳ ἡ στρατιὰ **μαχίμη** κατὰ τῶν ἐχθρῶν μάχεται. **16.** Ὁ Ἀλέξανδρος **ἰταμὸς** προάγει τὸν στρατὸν ἐπὶ τὸν Ἰνδὸν ποταμὸν καὶ δι' ἀπορρήτων καταλαμβάνει τὰ τῶν πολεμίων πλοῖα πρὸς μάχην **ἕτοιμα**. **17.** Ἄγειν μὲν τοὺς **ἀνδρείους** καὶ **ἀγαθοὺς** στρατιώτας εἰς τὴν νίκην **ῥᾴδιόν** ἐστι τῷ στρατηγῷ καὶ ἀπείρῳ, **χαλεπὸν** δὲ **ἀνδρείους** καὶ **ἀγαθοὺς** ποιέειν τοὺς δειλούς. **18.** Αἱ βρονταὶ βρέμουσι καὶ **σφοδροὶ** οἱ ἄνεμοι πνέουσι ὑπὲρ τὴν **χειμερίαν** θάλασσαν, ἀλλὰ οἱ ναῦται **ἔμπειροι ἱκανοί** εἰσιν ὥστε τὸ πλοῖον ὁρμίζειν.

ESERCIZIO
Funzione predicativa e funzione attributiva

28. Analizza e traduci le seguenti frasi.

1. Ὁ ὁδίτης μόνος διὰ τῆς ἐσχάτης καὶ ἐρήμου χώρας πορεύεται. **2.** Ἐν τῷ ἄκρῳ Ὀλύμπῳ οἱ ἀθάνατοι θεοὶ μόνοι ναίουσιν. **3.** Οἱ Ἰλλυριοὶ μένουσιν ἐν ἐσχάτῃ χώρᾳ καὶ ἄκροις λόφοις. **4.** Μέσος ὁ ποταμὸς Ἰνδός ἐστιν εὔπορος.

Per tradurre

Ancora sulla posizione attributiva e predicativa

▶ I sostantivi

Oltre agli aggettivi, anche i sostantivi possono trovarsi in posizione attributiva o predicativa: nel primo caso si ha una apposizione, nel secondo un complemento predicativo.

ὁ **φιλόσοφος** Ἡράκλειτος	ὁ Ἡράκλειτος ὁ **φιλόσοφος**
ὁ Ἡράκλειτος **φιλόσοφος**	

il **filosofo** Eraclito
Eraclito **da filosofo**

In posizione attributiva si trova normalmente il genitivo in funzione di complemento di specificazione (ἡ **τῆς στρατιᾶς** νίκη, "la vittoria **dell'esercito**").

▶ Complementi e avverbi

In posizione attributiva possono trovarsi anche complementi e avverbi che sono da riferirsi a un sostantivo in modo specifico e non all'intera proposizione. Osserva le seguenti frasi:

Ἐν **τῇ μάχῃ** ἡ ἀνδρεία τὴν στρατιὰν σῴζει
In battaglia il coraggio salva l'esercito.

Τὴν ἐν **τῇ μάχῃ** ἀνδρείαν θαυμάζομεν
Ammiriamo il coraggio **in battaglia**

Nella prima il complemento εν τῇ μαχῃ indica "dove" il valore salva l'esercito, nella seconda "quale" valore ammiriamo.

ESERCIZIO
Posizione attributiva e predicativa di nomi e aggettivi

29. Analizza e traduci le seguenti frasi.

1. Κρατῖνος ὁ κωμῳδιογράφος ἐν τῷ θεάτρῳ κωμῳδίαν διδάσκει
2. Ὁ ποιητὴς Ἀρχίλοχος τὸν τοῦ στρατιώτου βίον ᾄδει.
3. Ἡρόδοτος ὁ ἱστοριογραφος διαγιγνωσκει ὅλους τοὺς νόμους καὶ τὴν πολιτείαν τῶν Αἰγυπτίων.
4. Τὸν ἐν τῷ θεάτρῳ ὑποκριτὴν θαυμάζομεν.

5. Ὁ μετὰ τοῦ προσώπου ὑποκριτὴς ὑποκρίνεται ἐν τῇ κωμῳδίᾳ.
6. Κροῖσος ὁ τῆς Λυδίας δεσπότης πλούσιος καὶ δυνατός ἐστιν.
7. Οἱ ἐπὶ τὸν ποταμὸν πολέμιοι μένουσιν ἐν ταῖς σκηναῖς.
8. Ἐπὶ ταῖς ἕδραις οἱ θεαταὶ κάθηνται καὶ βλέπουσιν τὴν τραγῳδίαν.

VERSIONE

Difficoltà

38 Una tragedia a Epidauro

A Epidauro, dove si trova il santuario del dio Asclepio, è possibile assistere agli spettacoli dei poeti tragici.

Ἀναρίθμητοι ξένοι εἰς Ἐπίδαυρον πορεύονται βούλονται γὰρ ἐκεῖ ὑπὸ τοῦ θεοῦ Ἀσκληπιοῦ ἐν τῷ σεμνῷ ἱερῷ θεραπεύεσθαι καὶ ἐν τῷ λαμπρῷ θεάτρῳ τὰ τῶν τραγικῶν ἔργα θαυμάζειν. Δρᾶμα ("Lo spettacolo", nom. n. sing.) δεινὸν ἄρχεται· Ζεὺς ("Zeus", nom. m. sing.) Τάνταλον τὸν υἱὸν πολλάκις εἰς τὸν Ὄλυμπον ἄκρον μεταπέμπεται ὁ δὲ πείθεται καὶ τοῖς θεοῖς διαλεγεται. Ἐργαζεται δε κακὸν τοὺς θεούς δι'ἀπορρήτων γὰρ τὴν ἀμβροσίαν κλέπτει καὶ τὸν τῶν θεῶν οἰνοχόον Γανυμήδην ("Ganimede", acc. m. sing.) ἁρπάζει. Διὸ ("Perciò") ὁ Ζεὺς ("Zeus", nom. m. sing.) τὸν Τάνταλον ἐν τῷ Ταρτάρῳ εἰς ἀεὶ ("per sempre") κολάζει Τῷ παλαιῷ μύθῳ ταράττεται μὲν ὁ θυμός, καθαίρονται ὀ` οἱ θεαται, ὡς ("come") ὁ ἔνδοξος φιλόσοφος Ἀριστοτέλης λέγει, δι` ἐλέου καὶ φόβου καὶ τῶν τοῦ θυμοῦ κακῶν ἀπολύονται.

LAVORIAMO SULLE **COMPETENZE**

Competenze linguistiche

a. Individua e analizza tutte le forme di aggettivi e stabilisci se hanno posizione attributiva o predicativa.
b. τῶν τραγικῶν (r. 2): come si può tradurre questo aggettivo sostantivato in riferimento a persone?
c. Τῷ παλαιῷ μύθῳ (rr. 7-8): di che complemento si tratta?
d. ὁ ἔνδοξος φιλόσοφος Ἀριστοτέλης (rr. 8-9). osserva questo sintagma e analizza la posizione del sostantivo φιλόσοφος.
e. δι` ἐλέου καὶ φόβου (rr. 9-10) come si traduce questo complemento?

Competenze lessicali

f. Ricostruisci l'etimologia del termine οἰνοχόος.
g. Da che cosa è composto l'aggettivo ἔνδοξος?

Comprensione

i. Perché secondo Aristotele la visione di una tragedia ha anche una funzione positiva?

VERSIONE

Difficoltà

39 Il lupo e la rana

Non è detto che chi fa la voce grossa sia il più forte anche nei fatti

- l'**accusativo** preceduto da **εἰς**, **ἐπί**, **πρός**;

  Οἱ Λακεδαιμόνιοι **εἰς τὸν πόλεμον** ἀγαθοὶ ἦσαν.
  Gli Spartani erano abili **a combattere** (lett. **per la guerra**)
  Ὁ στρατηγὸς **ἐπ' ἀγγελίαν** τοὺς σκοποὺς στέλλει
  Il comandante manda gli esploratori **in ambasceria**
  Οἱ στρατιῶται **πρὸς τὴν ἁμίλλαν** ἕτοιμοι ἦσαν.
  I soldati erano pronti **per il combattimento**.

- il **genitivo** seguito da **ἕνεκα**;

  Οἱ ἀθληταὶ **τῆς δόξης ἕνεκα** ἀγωνίζονται.
  Gli atleti gareggiano **per la gloria**.

- il **dativo** preceduto da **ἐπί**.

  Τὰ παιδία **ἐπ' ἀγαθῷ** κολάζονται.
  I bambini vengono puniti **per il** (loro) **bene**.

Le proposizioni finali esplicite

Le proposizioni finali esplicite in greco sono introdotte dalle congiunzioni **ἵνα**, **ὅπως** oppure **ὡς** e hanno il verbo:

- al **congiuntivo**, in dipendenza da un tempo principale;

  Οἱ γεωργοὶ τὴν γῆν **ἐργάζονται**, **ἵνα** τοὺς καρποὺς **συλλέγωσιν**.
  I contadini **lavorano** la terra **per raccogliere** i frutti.

- all'**ottativo**, in dipendenza da un tempo storico.

  Ὁ διδάσκαλος τὰ βιβλία **ἔφερε**, **ἵνα** οἱ μαθηταὶ τοὺς ἀρχαίους ποιητὰς **ἀναγιγνώσκοιεν**.
  Il maestro **portava** i libri **affinché** gli studenti **leggessero** gli antichi poeti

La **negazione** usata nelle proposizioni finali è **μή**.

  Ὁ κλέπτης φεύγει, ὅπως **μὴ** κολάζηται.
  Il ladro fugge per **non** essere punito

TRADUCI

DDI
Lettura espressiva delle versioni

Per facilitarti nella traduzione, ricorda che in questa sezione di esercizi si usano termini tratti dal Lessico frequente, dal Lessico tematico e altri che troverai sul vocabolario.

ESERCIZIO
Complemento di fine

19. **Analizza e traduci le seguenti frasi. I complementi di fine sono evidenziati.**

1. Δια μὲν τοῦ πολέμου κινδυνεύετε, **ἐπὶ τῇ τῶν πολέμιων ἥττῃ** τὸν φόβον φέρετε. **2.** **Τοῦ ἐπαίνου ἕνεκα** οἱ μαθηταὶ τοῦ διδασκάλου σπουδαίως ἤκουον. **3.** Ὦ πολῖται, **ἐπὶ τὴν εἰρήνην** ψηφιζώμεθα. **4.** **Ἐπὶ τῷ χρυσῷ ἄθλῳ** οἱ ἄνθρωποι σφαιρίζουσιν. **5.** Τοὺς δούλους οἱ Λακεδαιμόνιοι ἐμεθυσκον καὶ τοῖς παιδίοις αὐτοὺς ἐπεδείκνυσαν **εἰς ἀποτροπὴν** τῆς πολυοινίας. **6.** **Τῶν υἱῶν ἕνεκα** οἱ ἄνθρωποι ἀναριθμήτους πόνους λαμβάνουσιν. **7.** Τὰ μακρὰ πλοῖα τῶν Καρχηδονίων **πρὸς ἐμπορίαν** τὴν θάλασσαν διαβαίνουσιν **8.** Οἱ μισθοφόροι **ἐπὶ τῷ ἀργυρίῳ** περὶ τῆς ψυχῆς κινδυνεύουσιν. **9.** Οἱ μὲν **πρὸς τὸν πόλεμον** πρόθυμοί εἰσιν, οἱ δε **πρὸς τὴν εἰρήνην**. **10.** Ὅτε οἱ στρατιῶται **ἐπὶ τῇ διατριβῇ** ἐκύβευον, ὁ στρατηγὸς ἐφαίνετο.

ESERCIZIO
Proposizioni finali esplicite

20. **Analizza e traduci le seguenti frasi. Le proposizioni finali sono evidenziate.**

1. Οἱ τῆς χώρας οἰκῆται ἦκον, **ἵνα** τῷ Κροίσῳ δῶρα **φέροιντο** **2.** Ἡ τῶν Ἀθηνῶν στρατιὰ ἐν τῇ κατὰ τοὺς Πέρσας μάχῃ ἐμάχετο, **ἵνα** οἱ στρατιῶται **μὴ ἁλίσκοιντο** **3.** Οἱ Θηραῖοι διὰ τῆς θαλάττης διήρχοντο **ὅπως** τὴν Κυρήνην **ἀποικίζοιεν**. **4.** Οἱ νεανίαι σφαίρᾳ ἐπαίζοντο **ὅπως** ἄθλον **παρέχοιεν** **5.** Ὁ Φίλιππος **ἵνα μὴ** οἱ Ἕλληνικοὶ **συνέρχοιντο μηδὲ ἀφίσταιντο** τὴν εἰρήνην αὐτοῖς ἐπηγγέλλετο. **6.** Ἀλλὰ μέθα **ἵνα** πέραν τοῦ τειχίου **βλέπωμεν** **7.** Οἱ παλαιοὶ τὴν ῥητορικὴν τέχνην ἐμάνθανον οὐχ **ἵνα** δολίοις λόγοις τοὺς ἀνθρώπους **βλάπτοιεν**, ἀλλ᾽ **ὅπως** βοηθειαν τοῖς πολίταις ἐν ταῖς συμφοραῖς **φέροιεν**. **8.** Ὁ Ξέρξης μακρὰν στρατιὰν παρεσκευάζετο, **ἵνα** τοὺς Ἕλληνικοὺς δούλους **καθίστατο**. **9.** Πολλάκις οἱ γεωργοὶ ἐπὶ θήραν ἐξέρχονται, **ὅπως** ἀπὸ τῶν προβάτων τοὺς λύκους **ἀπερύκωσιν** **10.** Οἱ πολῖται φυλακὰς ἐτίθεσαν ἐπὶ τοῖς ὅροις **ὡς μὴ** αἱ ἄρουραι ὑπὸ τῶν βαρβάρων **ἐκκαίοιντο**. **11.** Οἱ Λακεδαιμόνιοι νομοθέτην Λυκοῦργον ἐξῆρεον **ἵνα** τοὺς νόμους **τιθείη** καὶ πολιτείαν **καθισταίη** **12.** Ὁ Ἀλέξανδρος κατὰ μέσον τὸν πόρον τοῦ Ἑλλησπόντου τοῖς θεοῖς ταῦρον ἔσφαττε καὶ εἰς την θάλατταν ἐκ χρυσέης φιάλης ἔσπενδε, **ὅπως** αὐτοὶ ἵλεῳ **εἶεν** καὶ ανέμους οὐρίους **ἰεῖεν** **13.** Ἐβουλεύετο ὁ στρατηγὸς πορεύεσθαι καὶ τῆς μάχης ἐξαίφνης ἅπτεσθαι **ὡς** οἱ πολέμιοι ἀπαρασκεύαστοι **συλλαμβάνοιντο**. **14.** Περὶ τὸ τῶν Ἀθηναίων στρατόπεδον σκοποὶ ὑπὸ τοῦ στρατηγοῦ τάσσονται **ἵνα μὴ** ἡ τῶν βαρβαρων στρατιὰ ἐξ ἀπροσδοκήτου **εἰσβάλλῃ** **15.** Αἴσωπος τοὺς μύθους συνέγραφε, **ἵνα** τὰς πονηρίας τε καὶ τὰς ἁμαρτίας τῶν ἀνθρώπων **δεικνύοι**. **16.** Τὴν δικαιοσύνην ἀσκέομεν καὶ τὰς ἄλλας ἀρετὰς ἐπιτηδεύομεν **ὅπως** μεθ᾽ ἡσυχίας τὸν βίον **ἄγωμεν**.

VERSIONE **56** **Ferrea disciplina spartana**

Difficoltà

Come è noto, gli Spartani educavano i giovani a una ferrea disciplina, perché diventassero soldati forti e valorosi.

Οἱ Σπαρτιᾶται τοὺς νεανίας ἀπὸ μικρᾶς ἡλικίας ἐπαίδευον, ἵνα ἀνδρεῖοι εἶεν. Εὐθὺς (avv.) τὰ μειράκια κοινῶς (avv.) ἐτρέφοντο. Καθ' ἡμέραν δ' ἐν τῇ αἰθρίᾳ ἐγυμνάζοντο καὶ ἐγίγνοντο τῷ μὲν σώματι ("nel corpo") ἐρρωμενοι, τῇ δε ψυχῇ ἀνδρεῖοι. Εἰθίζοντο δὲ καὶ κλέπτειν, ἵνα ἐν τῷ πολέμῳ τοὺς πολεμίους βλάπτοιεν. Τοῖς δὲ πατρίοις νόμοις ἐπείθοντο καὶ σαφῶς (avv.) ἐγίγνωσκον τοὺς Λυκούργου νόμους. Οἱ δ' Εἵλωτες ("gli Iloti") τοὺς ἀγροὺς τῶν Σπαρτιατῶν εἰργάζοντο καὶ ὑπέμενον παντοῖα δεινά. Διο ταλαίπωροι ἐνομίζοντο.

LAVORIAMO SULLE **COMPETENZE**

Competenze linguistiche

a. Individua tutte le proposizioni subordinate finali esplicite presenti nel brano. Per ognuna di esse prova a trasformarla modificando la reggenza da tempo storico a tempo principale.

b. ἀπὸ μικρᾶς ἡλικίας (r. 1): che cosa significa questa espressione?

c. ἐτρέφοντο (r. 2): diatesi media o passiva?

d. ταλαίπωροι (r. 7): di quale complemento si tratta?

Competenze lessicali

e. Trova almeno una coppia di sinonimi e una di contrari nel testo

Comprensione

f. Come mai i giovani spartani imparavano a rubare?

g. Conosci altri aspetti della ἀγωγή spartana? Prova a fare una breve ricerca a partire dal termine κρυπτεία.

5 Le proposizioni causali esplicite

SCHEDA MORFOSINTATTICA

Le proposizioni causali esplicite in greco sono introdotte dalle congiunzioni **ὅτι, ὡς, ἐπεί** o **ἐπειδή** e hanno il verbo:

- all'**indicativo**, in dipendenza da un tempo principale o quando la causa è presentata come reale o come oggettiva; in questo caso la negazione è **οὐ**;

  Ἡ δέσποινα ἐπίλυπος ἐστιν, **ὅτι** ὁ γαμετὴς εἰς τὸν πόλεμον **ἔρχεται**.
  La padrona è triste, **perché** il marito **va** alla guerra.

- all'**ottativo**, quando la causa è presentata come soggettiva, ma solo in dipendenza da un tempo storico; in questo caso la negazione è **μή**.

  Οἱ Ἀθηναῖοι τοὺς στρατηγοὺς ἐκόλαζον, **ὡς** δῶρα ἀπὸ τῶν πολεμίων **ἐδέχοντο**
  Gli Ateniesi punivano gli strateghi, **perché accettavano** doni dai nemici.

In questo caso il fatto è presentato come oggettivo: gli strateghi accettavano effettivamente doni dal nemico.

  Οἱ Ἀθηναῖοι τοὺς στρατηγοὺς ἐκόλαζον, **ὡς** δῶρα ἀπὸ τῶν πολεμίων **δέχοιντο**.
  Gli Ateniesi punivano gli strateghi, **perché avrebbero accettato** doni dai nemici.

In questo caso chi parla o scrive non dice nulla sulla verità dei fatti, ma riferisce il pensiero del soggetto della reggente: gli Ateniesi pensavano che gli strateghi accettassero doni dai nemici.

TRADUCI

DDI
Lettura espressiva delle versioni

Per facilitarti nella traduzione, ricorda che in questa sezione di esercizi si usano termini tratti dal Lessico frequente, dal Lessico tematico e altri che troverai sul vocabolario.

ESERCIZIO
Proposizioni causali esplicite

21. **Analizza e traduci le seguenti frasi. Le proposizioni causali sono evidenziate.**

1. Οἱ ἄλλοι Ἕλληνες ("Greci", nom. m. plur.) ἡμῖν ὀνειδίζουσιν, **ἐπεὶ** οἱ Μηλιοι συμφορὰς ἐπὶ τὰ ἡμέτερα ἔργα **πάσχουσι**. **2.** Οἱ Ἀθηναῖοι τὸν Σωκράτη ("Socrate", acc. m. sing.) διεβάλλοντο, **ὡς** τοὺς νεανίας **διαφθείροι** **3.** Ἐπεὶ ἐν τῇ ξένῃ χώρᾳ **ἦμεν**, τῷ βίῳ ἐκινδυνεύομεν. **4.** Παρασκευάζετε τὴν τράπεζαν, **ὡς** οἱ ἀδελφοὶ **ἥκουσι** καὶ **πεινάουσιν**. **5.** Οἱ δὲ Τυρρηνοὶ ἤχθοντο τῇ τριβῇ τοῦ πολεμου δεινὸν τ' ὠνειδιζον τοῖς Ῥωμαιοις **ἐπειδὴ** οὐκ **ἐξήρχοντο** εις μάχην **6.** Εις τὴν οἰκίαν ἔτρεχον, **ὡς** βοὴν ἰσχυρὰν **ἤκουον**. **7.** Ἐπεὶ δὲ καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν **ἐπολιορκέοντο**, οι Ἀθηναῖοι τοῖς θεοῖς θυσίας παρεῖχον καὶ ηὔχοντο, ὅπως, σῴζοιντο. **8.** Στροβίλῳ ἐπαίζομεν, **ἐπεὶ** οἱ ἡμέτεροι ἀστράγαλοι ὑπὸ κακῶν νεανιῶν **κλέπτονται**. **9.** Οἱ νεανιαι ἐπι θηραν ἐξήρχοντο, ἀλλ' **ἐπεὶ** σφοδρὸς ὑετὸς **ἐγίγνετο**, εις γλαφυρον σπήλαιον ενέβαινον, ἵνα καταφυγὴν ευρίσκοιεν **10.** Ἐθαύμαζον **ὅτι** Κῦρος οὔτε ἄλλον **ἔπεμπε** οὔτε αὐτὸς **ἐφαίνετο**. **11.** Οἱ πολῖται ἔφευγον, **ὡς** οἱ λῃσταὶ εἰς τὴν νῆσον ἐσχάτην ἐκβαίνειν **μέλλοιεν** **12.** Ἐπειδὴ ὑβριστὴς **ἦν** καὶ ὠμός, ὁ Κρόνος ὑπὸ τοῦ υἱοῦ ἀφίετο και εἰς τὸν Ταρταρον κατεβαλλετο. **13.** Ὁ στρατηγὸς πρὸς τοὺς πρεσβευτὰς γενναίοις λόγοις ἀπεκρίνετο «Τὰ ἡμέτερα ὅπλα σὺ κατατίθεμεν, **ὅτι** ἕτοιμοί **ἐσμεν** ἀποθνήσκειν ἵνα τὴν ἐλευθερίαν σῴζωμεν». **14.** Οἱ δὲ ἐν τῷ στρατοπέδῳ κατεγέλαον τῆς πολιορκίας **ὡς** αὐτοῖς **εἶεν** τὰ ἐπιτήδεια ἵνα ἀντέχοιεν. **15.** Οἱ στρατιῶται τὸν κίνδυνον οὐκ ᾔσθοντο, **ὅτι** σιγῇ οἱ πολέμιοι **προσήρχοντο**, ὡς ἐξ ἀπροσδοκήτου εἰς τὸ ἡμέτερον στρατόπεδον εἰσβάλλοιεν.

VERSIONE
Difficoltà

57 Meglio un uovo oggi...

Un pesciolino cerca di convincere il pescatore che l'ha catturato a lasciarlo andare. Ma la saggezza popolare rende vani i suoi sforzi.

Ἰχθυολκὸς τὸ δίκτυον καθίει καὶ ἀνέφερε μαινίδιον. Σμικρον δὲ ἦν τὸ ζῷον καὶ ἱκέτευε τὸν ἄνθρωπον μὴ λαμβάνειν αὐτό, ἐπειδήπερ σμικρὸν ἐτύγχανε. «Ἀλλ' εἰ αὐξάνομαι καὶ πιαίνομαι, ἔλεγε τὸ μαινιδιον, συλλαμβανειν με δύνασαι, ἐπεὶ ὠφέλιμόν σοι ἐπὶ τὸ δεῖπνον ἔσομαι[1], ὡς βιβρώσκωμαι». Καὶ ὁ ιχθυολκὸς ἀπεκρίνετο «Ἀλλ' οἱ ἔξηχοι τὰ βέβαια καὶ ἀσφαλτα παριᾶσι, ἵνα τὰ ἄδηλα καὶ σφαλερα διώκωσιν»

da Esopo

1. ἔσομαι: "sarò".

LAVORIAMO SULLE COMPETENZE

Competenze linguistiche

a. Individua le proposizioni causali presenti nel testo e sottolinea le congiunzioni che le introducono.
b. μὴ λαμβάνειν (r. 2): perché viene usata la negazione μή?
c. ἐπὶ τὸ δεῖπνον (rr. 3-4): di quale complemento si tratta?

Competenze lessicali

d. Ἰχθυολκός (r. 1): aiutandoti con il vocabolario individua da quali parole è composto questo sostantivo.

e. συλλαμβάνειν (r. 3), qual è il preverbo di questa forma verbale? Che cosa indica?

Comprensione

f. In che cosa consiste la risposta del pescatore?

VERSIONE

Difficoltà

58 Aracne

Aracne, giovane fanciulla di Lidia, era tanto abile nella tessitura da ritenersi superiore alle dee in generale e ad Atena in particolare. Quest'ultima, dopo aver invano esortato Aracne a guardarsi dall'ira divina, la punisce trasformandola in un insetto destinato a passare il suo tempo filando il ragno

Ἦν ποτε ἐν τῇ Λυδίᾳ κόρη καλὴ καὶ δεινὴ ἐν τῷ ὑφαίνειν. Ἀράχνη ὠνομάζετο καὶ θαυμασία τέχνη ἀγλαοὺς πέπλους βελόνῃ ἐποίκιλλεν, διόπερ πανταχοῦ ὀνομαστὴ ἦν. Ἡ κόρη, ἐπεὶ ἐθαυμάζετο μὲν διὰ τὴν τέχνην καὶ ἐμεγαλίζετο δὲ ἐν τῇ καρδίᾳ, διοτι τὰς θεὰς ὕβριζε· διὰ ὑπερηφανίας ἔλεγε γαρ καὶ τὴν Ἀθηνᾶν ὑπερβάλλειν. Ἡ θεὰ οὖν ὅτι δεινῶς ὠργίζετο, γεραιᾷ εἰκάζετο καὶ τῇ κόρῃ ἐπλησιάζετο καὶ, ἵνα τῆς τῶν θεῶν ὀργῆς φυλάσσοιτο, ἔλεγεν· «Καλὴ μὲν εἶ, ὦ κόρη, καὶ δεινὴ ἐν τῷ ὑφαίνειν, ἀλλα μὴ ὕβριζε τὰς θεας καὶ εἶκε τῇ Ἀθηνᾷ· φρόνιμος ἴσθι». Ἡ δὲ κόρη σὺν ἀνοήτῳ ὑπερηφανίᾳ καὶ ὀλιγωρίᾳ απεκρινετο· «Ὦ μωρὰ γεραια, δῆλόν εστι ὅτι ἐπὶ τῇ ηλικίᾳ μαίνῃ· τὰς θεὰς ὑπερβάλλω καὶ ἑτοίμη εἰμὶ τὰς θεὰς εις ἅμιλλαν προκαλέεσθαι ἐν τῷ ὑφαίνειν καὶ ἐν τῷ ποικίλλειν». Ἡ δὲ Ἀθηνᾶ ὡς ὠργίζετο δια τους τῆς ὑπεροπτικῆς παρθένου λόγους πάλιν ἐν θεᾶς μορφῇ ἐφαίνετο καὶ ἔλεγε· «Εἰ μέντοι τῷ ὑφαίνειν οὕτω χαίρεις, ὕφαινε οὖν εἰς ἀεί». Ὅπως ἡ ὑπερηφανια κολαζοιτο, ἡ θεα ἔπλησσεν οὖν τὴν κόρην τῇ ἠλακάτῃ καὶ εἰς ἀράχνην μετήλλασσεν. Ἡ δὲ ἀράχνη ἔκτοτε οὔποτε ἐπαύετο ἱστὸν ὑφαίνειν.

ESERCIZIO Lessico

22. Per ciascun periodo della versione 58 indica sul quaderno, secondo lo schema seguente, i nomi propri, le parole ricorrenti, le parole di cui conosci il significato, le parole di cui ipotizzi il significato sulla base della loro appartenenza a una certa famiglia lessicale o degli esiti che esse hanno prodotto in italiano o in altre lingue moderne a te note e l'area semantica dominante.

Periodo n. ___ da ___ a ___

Nomi propri	Parole ricorrenti	Parole di cui conosci il significato	Parole di cui ipotizzi il significato	Area semantica dominante

ESERCIZIO Lessico

23. Traduci le seguenti frasi, formate con materiali lessicali tratti dalla versione 58.

1. Ἐπεὶ ἀγαθὰ φρονέουσιν, δικαιως ἔπραττον. **2.** Δόλους ὑφαίνει, ἵνα τύραννος γίγνηται. **3.** Οἱ θεοὶ οὐ μόνον τοῖς θαυμασίοις δώροις παρὰ τῶν ἀνθρώπων, ἀλλὰ καὶ τοῖς λιτοῖς χαίρουσιν. **4.** Αἱ δειναὶ παρθένοι μετὰ σπουδῆς λαμπρὸν πέπλον ὕφαινον ἵνα ἐπὶ τὸν τῆς θεᾶς βωμὸν τιθεῖεν. **5.** Ἡ ὑπερηφανία παντοδαπῶν κακῶν αἰτία ἐστί

χρὴ γὰρ τοὺς ἀνθρώπους φρονέειν καὶ ἐν ταῖς εὐπραξίαις μετριάζειν. **6.** Οἱ ἀγλαοὶ πέπλοι βελόνῃ ὑπὸ τῶν θεραπαινῶν ὑφαίνονται **7.** Θαυμάσια ἔργα ὁ ἄνθρωπος ποιέει, ἀλλὰ οἱ θεοὶ οὐ στέργουσιν τὴν ὑπερηφανίαν. **8.** Δῆλόν ἐστι ὅτι ληρέεις τὰ μωρὰ ἐπὶ τῇ γεραιᾷ ἡλικίᾳ.

ESERCIZIO
Sinonimi e antonimi

24. **Collega i seguenti vocaboli tratti dalla versione 58 con i vocaboli di significato affine e opposto, riportati rispettivamente nelle colonne A e B.**

	A	B
1. εἴκω	**a.** δεινός	**A.** ἄρχομαι
2. ἀγλαός	**b.** ὑποχωρέω	**B.** μετριάζω
3. δῆλος	**c.** ληρέω	**C.** ταπεινός
4. μεγαλίζομαι	**d.** λήγω	**D.** ἄδηλος
5. μαίνομαι	**e.** φανερός	**E.** ἀντέχω
6. παύομαι	**f.** ἀγάλλομαι	**F.** φρονέω
7. θαυμάσιος	**g.** λαμπρός	**G.** σπουδή
8. ὀλιγωρία	**h.** ἀμέλεια	**H.** λιτός

ESERCIZIO
Famiglia lessicale

25. **Con l'aiuto del dizionario completa questa mappa relativa alla famiglia lessicale di φρον-/φρην-.**



6 Le proposizioni sostantive soggettive e oggettive

SCHEDA MORFOSINTATTICA

In greco le **proposizioni soggettive** sono introdotte da:

- verbi e locuzioni impersonali quali χρή (ἐστι) "è necessario", δεῖ "bisogna", ἔξεστι "è possibile", προσήκει, πρέπει "conviene", συμβαίνει "accade";
- espressioni formate da un sostantivo o da un aggettivo neutro in unione al verbo essere: ἀνάγκη ἐστί "è necessario", ἀναγκαῖόν ἐστι "è necessario", δῆλόν εστι "è chiaro", αἰσχρόν ἐστι "è turpe" ecc.

Esse si rendono:

a. in **forma esplicita**:

– con ὡς, ὅτι, διότι + indicativo in dipendenza da tempi principali,

> Ἀγαθόν ἐστι **ὅτι** οἱ πολῖται τοῖς νόμοις **ἐμμένουσι**.
> *Pulchrum est cives leges* ***servare***
> È bello **che** i cittadini **rispettino** le leggi.

– con ὡς, ὅτι, διοτι + ottativo (o indicativo) in dipendenza da tempi storici;

> **Ὅτι** σαφῶς **λέγοις (ἔλεγες)** δῆλον ἦν.
> *Te sapienter* ***dicere*** *clarum erat.*
> Era chiaro **che** tu **parlavi** saggiamente.

b. in **forma implicita**:

– con l'infinito semplice;

> Τοῖς μὲν δειλοῖς **φεύγειν**, τοῖς δὲ ἀνδρείοις **μάχεσθαι** πρέπει.
> *Ignavos* ***fugere****, strenuos autem* ***pugnare*** *decet.*
> Ai vili conviene **fuggire**, ai coraggiosi **combattere**.

– con il soggetto in accusativo e il verbo all'infinito;

> Χρὴ (ἐστι) **τοὺς στρατιώτας** τοῖς στρατηγοῖς **πείθεσθαι**.
> *Necesse est* ***milites*** *ducibus* ***oboedire***
> È necessario che i **soldati obbediscano** ai comandanti.

Le **proposizioni oggettive** sono introdotte da:

- *verba dicendi e declarandi*, quali λεγω "dire", ἀγγελλω "annunciare", ἀποκρίνομαι "rispondere" ecc.;
- *verba sentiendi e putandi*, quali νομίζω "ritenere", οἴομαι "credere", πυνθάνομαι "venire a sapere" ecc.;
- *verba voluntatis*, quali βούλομαι, θέλω / ἐθελω "volere" ecc.;
- *verba affectuum*, quali θαυμάζω "meravigliarsi", αισχυνομαι "vergognarsi", ἄχθομαι "adirarsi" ecc.

Esse si rendono:

a. in **forma esplicita**:

– con ὡς o ὅτι + indicativo in dipendenza da tempi principali;

> **Λέγεις ὡς** ὁ φόβος **ἀνιάει** τοὺς ἀνθρώπους.
> ***Dicis*** *pavorem homines* ***angere***
> **Dici che** la paura **tormenta** gli uomini.

– con ὡς o ὅτι + ottativo (o indicativo) in dipendenza da tempi storici;

> **Ἐγίγνωσκον ὅτι** ἐνθάδε **εἶης**.
> ***Sciebam*** *te hic* ***esse****.*
> **Sapevo che eri** qui.

b. in **forma implicita**:

- con l'infinito semplice se c'è identità di soggetto tra l'infinitiva e la reggente; in tal caso il verbo della reggente e quello dell'infinitiva costituiscono un unico predicato verbale e quindi tutti gli elementi che si riferiscono al soggetto sono al nominativo;

> **Νομίζω** ἀγαθὸς **εἶναι**.
> ***Puto** me bonum **esse***
> **Penso di essere** buono

- con il soggetto in accusativo e il verbo all'infinito, se il soggetto dell'infinitiva è diverso da quello della reggente.

> **Οἱ σοφοὶ** λέγουσιν **τοὺς θεοὺς εὐεργετέειν** τοὺς ἀνθρώπους
> ***Sapientes** dicunt **deos** hominibus **benefacere**.*
> **I saggi** dicono **che gli dèi fanno del bene** agli uomini

La costruzione dei *verba dicendi*.
I verba *dicendi/declarandi*, *putandi* e *iubendi* (λεγομαι, ἀγγέλλομαι, νομίζομαι, κελεύομαι), cioè verbi che esprimono una affermazione, un giudizio o un comando, quando sono in forma passiva e reggono una subordinata soggettiva implicita, ammettono tanto la **costruzione impersonale** quanto quella **personale**.

- **Costruzione impersonale**
  1. il verbo reggente va alla 3ª pers. sing.;
  2. la soggettiva si forma con il soggetto in accusativo e il verbo all'infinito.

  > **Λέγεται τοὺς μαθητὰς** σπουδαίους **εἶναι**.
  > **Si dice che gli allievi siano** zelanti.

- **Costruzione personale**:
  1. il soggetto dell'infinitiva diventa soggetto dell'intera frase e assume il caso nominativo;
  2. il verbo reggente si concorda con esso;
  3. il verbo della subordinata rimane all'infinito ed eventuali nomi del predicato / complementi predicativi vanno anch'essi al nominativo.

  > **Λέγονται οἱ μαθηταὶ σπουδαῖοι εἶναι**.
  > **Si dice che gli allievi siano zelanti.**

Allo stesso modo si comportano le espressioni costituite dal verbo essere + un aggettivo:

> **Δίκαιόν ἐστι τοὺς προδότας κολάζεσθαι**.
> **Οἱ προδόται δίκαιοί εἰσι κολάζεσθαι**.
> **È giusto che i traditori siano puniti**

PREPARATI ALLA TRADUZIONE

ESERCIZIO
Proposizioni infinitive

26. **Trasforma le seguenti frasi indipendenti in infinitive, secondo l'esempio dato, quindi traduci.**

> **Es.** Οἱ πολέμιοι τῆς μάχης ἅπτονται → Ἀγγέλλουσι τοὺς πολεμίους τῆς μάχης ἅπτεσθαι.

1. Οἱ πολῖται πολλάκις τῇ Ἀθηνᾷ εὔχονται. **2.** Οἱ λῃσταὶ τὰς τῶν δικαστῶν ζημίας οὐ δεμαίνουσιν. **3.** Ὁ Ἀλέξανδρος εἰς τὴν Ἰνδικὴν χώραν πορεύεται. **4.** Τὸ παιδίον τὴν τοῦ παρθένου κόρην λαμβάνει. **5.** Ὁ δεσπότης καλὰ δῶρα τοῖς ξένοις δίδωσι. **6.** Μετὰ τῶν μαθητῶν καὶ ὁ διδάσκαλος μανθάνει. **7.** Μετὰ τὴν τῆς νίκης ἀγγελίαν ὁ στρατηγὸς ἄλλεσθαι ἠβούλετο. **8.** Ἡ μὲν ἔχθρα ἔχθρας τίκτει, ἡ δὲ φιλία φιλίας. **9.** Οἱ τῶν ἀγαθῶν ἀνθρώπων

λόγοι ἀεὶ τοὺς τῶν πολιτῶν ἐπαίνους δέχονται. **10.** Οἱ σχολαῖοι νεανίαι τὴν ἡμέραν ἐν τῇ ἀγορᾷ διατρίβουσιν. **11.** Καὶ οἱ πρόθυμοι στρατιῶται τὴν εἰρήνην στέργουσι **12.** Ἡ θεῶν εὔνοια τοῖς καλοῖς καὶ ἀγαθοῖς ἀνθρώποις ἐστίν. **13.** Ἐν τοῖς κινδύνοις οἱ ἀληθινοὶ φίλοι γιγνώσκονται. **14.** Ἡ ἀρετὴ ἐπαίνου τε καὶ μνήμης ἀξία νομίζεται

ESERCIZIO
Proposizioni dichiarative esplicite

27. **Converti le seguenti proposizioni infinitive in dichiarative esplicite, quindi traduci.**

> **Es.** Ἔλεγον τὸν Λυκοῦργον ἐπαίνου ἄξιον εἶναι. → Ἔλεγον ὅτι ὁ Λυκοῦργος ἐπαίνου ἄξιος εἴη.

1. Οἱ παλαιοὶ ἱστορικοὶ τὴν Μελίτην νῆσον οὐ μαλα τῶν Συρακουσῶν ἀπέχειν γράφουσιν. **2.** Τὸν Πυθαγοραν φιλοσοφον αλλ' οὐ σοφὸν εἶναι ἐνόμιζον. **3.** Λέγεται τοὺς νεανίας ἐν τῷ κήπῳ τροχῷ παίζειν **4.** Ὁ Ἡρόδοτος λέγει τὴν Αἴγυπτον Νείλου δῶρον εἶναι. **5.** Αισχρόν ἐστιν τοῖς ανθρωποις κυβευειν ἐν τοῖς καταγωγίοις **6.** Νομίζω τοὺς Ἀθηναίων νόμους δικαιους εἶναι **7.** Ἐγιγνωσκομεν τοῖς Λακεδαιμονίοις ἰσχυρὸν ναυτικὸν μὴ εἶναι. **8.** Φανερόν ἐστι τὴν τῶν πολιτῶν διαφορὰν τὰς πολιτείας διαφθείρειν **9.** Οἱ Αἰγύπτιοι ἐνόμιζον τους κροκοδείλους ἱεροὺς εἶναι. **10.** Δῆλον ἦν τὸν Ἀλέξανδρον τῇ αρετῇ ὑπο στρατιωτῶν θαυμάζεσθαι **11.** Δίκαιόν ἐστι τοὺς μαθητας τοῦ διδασκάλου ἀκούειν **12.** Ἐπίστασθε τοὺς Χαλδαίους δεινοὺς ἀστρολόγους εἶναι. **13.** Οἴομαι τὸν στρατηγὸν τοῖς τῶν πολεμίων ἀγγέλοις μὴ πιστεύειν. **14.** Λέγουσι τοὺς ἀγαθοὺς πολίτας ἐκ ἀγαθῶν νόμων γιγνώσκεσθαι.

ESERCIZIO
Nominativo e infinito

28. **Traduci letteralmente le seguenti frasi (con costruzione personale), quindi rendile in una forma italiana appropriata, secondo l'esempio dato.**

> **Es.** Λέγονται οἱ πολέμιοι ἐγγὺς τοῦ ποταμοῦ εἶναι.
> **Traduzione letterale** I nemici sono detti essere presso il fiume.
> **Traduzione definitiva** Si dice che i nemici siano presso il fiume.

1. Ἡ τέχνη τῶν αὐλητῶν τοῖς ἀκροαταῖς χαρὰν φέρειν λέγεται. **2.** Ὁ πόλεμος τῶν κακῶν ἄρχειν νομίζεται. **3.** Λέγονται οι ἀστράγαλοι παίγνια τῶν παιδίων εἶναι. **4.** Δίκαιοί ἐστε μετὰ τῶν Ἀθηναίων μάχεσθαι **5.** Λέγῃ ἄνθρωπος ἀγαθὸς εἶναι καὶ δίκαιος. **6.** Νομιζόμεθα κινδυνεύειν. **7.** Οἱ στρατιῶται ἐκελεύοντο τῆς μάχης ἅπτεσθαι. **8.** Αι ἀγαθαὶ θεράπαιναι νομίζονται φιλόπονοι εἶναι. **9.** Καλὰ δῶρα φέρειν λέγεσθε, ὦ φίλοι. **10.** Ὁ Ἀλέξανδρος δῆλος ἦν δεξιὸς στρατηγὸς εἶναι **11.** Οἱ στρατιῶται τα ὅπλα κατατίθεσθαι κελεύονται **12.** Νομίζεται ὁ στρόβιλος ἀνόητος διατριβὴ εἶναι. **13.** Οἱ πολέμιοι διὰ τῆς χώρας μέσης πορευεσθαι ἀγγελλονται. **14.** Ἡ Πυθία μαινεσθαι ἐλέγετο

DDI
Lettura espressiva delle versioni

TRADUCI

Per facilitarti nella traduzione, ricorda che in questa sezione di esercizi si usano termini tratti dal Lessico frequente, dal Lessico tematico e altri che troverai sul vocabolario.

ESERCIZIO
Proposizioni oggettive

29. **Traduci le seguenti frasi. Le proposizioni oggettive sono evidenziate.**

1. Ἐλπίζετε **ὡς** οἱ σύμμαχοι **ἔρχονται**. **2.** Ὁ Φίλιππος ἐθαυμάζετο **ὅτι** ὁ Ἀλέξανδρος ὑψελὰ ἄλλεσθαι **δύναιτο**. **3.** Οἱ ξένοι ἐθαύμαζον **ὅτι** οι Σπαρτιᾶται τοῖς θεοῖς οὐκ **ἀνετίθεσαν** τὰ ἀπὸ τῶν πολεμίων σκῦλα. **4.** Οἱ ἐχθροὶ ἔλεγον **ὡς** ὁ φιλόσοφος τοὺς νέους **διαφθείροι**. **5.** Ἡ παρθένος οὐ βούλετο **τὴν ἀδελφὴν** τὴν κόρην **λαμβάνειν**.

6. Ἔλεγον **τοὺς Σκύθας** δῆμον ἐλεύθερον καὶ καρτερὸν **εἶναι**. **7.** Μαρδόνιος, ὁ τῶν Περσῶν στρατηγός, **τοὺς ἐν τῇ Πελοποννήσῳ** κελεύει τῶν Ἑλληνικῶν συμμάχων **ἀφίστασθαι**. **8.** Ἐλπίζομεν **τοὺς θεοὺς** τὰς τῶν πονηρῶν εὐχὰς μὴ **ἐπακούειν**.

ESERCIZIO
Proposizioni soggettive

30. **Traduci le seguenti frasi. Le proposizioni soggettive sono evidenziate.**

1. Τὰ διὰ τὴν δειλίαν ἁλισκόμενα ("le cose conquistate", acc. n. plur.) οὐ καλόν ἐστι τοῖς θεοῖς **ἀνατιθέναι**. **2.** Αἰσχρον ἐστι τοῖς ἐφήβοις παίγνια **ὠνέεσθαι**. **3.** Χρὴ **τοὺς Ἀθηναίους** συνθήκας **συντίθεσθαι** καὶ τοῖς Λακεδαιμονίοις τὰ ὅπλα **παραδιδόναι**. **4.** Οὐκ ἔξεστι ἐν ἀγορᾷ σφαίρᾳ **παίζειν**. **5.** Κατὰ τοὺς ἀρχαίους φιλοσόφους οὐκ ἔξεστι **τοὺς νεκροὺς ἀνίστασθαι**. **6.** Δεῖ **τοὺς ἀνθρώπους** μητ' ἐν ταῖς συμφοραῖς περιλυπους **ὑπάρχειν**, μητ' ἐν ταῖς ἡδοναῖς ἐκλύτους **εἶναι**. **7.** Δεῖ **τοὺς νεανίας** τας κακὰς ὁμιλίας **φεύγειν**. **8.** Ὅτε ὁ Ἀννίβας εις τὴν Ῥώμην προσέπιπτε, συνέβαινε **ταραχὴν καὶ φόβον ἐμπίπτειν** τοῖς πολίταις.

31. **Traduci le seguenti frasi.**

1. Ὁ τύραννος ἐκέλευε τὸν αἰχμάλωτον ἄγεσθαι καὶ τοὺς τῆς προδοσίας ἐλέγχους ὑπὸ τῶν πολιτῶν ευθὺς δεικνύεσθαι. **2.** Λέγεται και τοὺς νεανίας συν ταῖς κόραις παίζειν φιλέειν. **3.** Ὅτι ὁ Φιλιππος οὐ τὴν εἰρήνην, ἀλλὰ τὴν ηγεμονίαν βούλεται, φανερόν ἐστιν. **4.** Οἱ κατάσκοποι ἤγγελλον ὅτι οι πολέμιοι διὰ τῆς ὁδοῦ τῇ Ἀττικῇ επέρχοιντο. **5.** Οἱ ἄνθρωποι λέγουσιν ὅτι δεῖ τὸν τῶν κακῶν ἔργων αἴτιον τραχέως κολαζειν, ἀλλὰ εἰ φίλος αὐτῶν ἐξαμαρτάνει, τοὺς δικαστὰς ἐλεεινοὺς εἶναι βούλονται. **6.** Οἱ φιλόσοφοι λέγουσι ὡς ὁ βίος τοῖς κύβοις εἰκάζεσθαι· ἡ τυχη ἄρχει. **7.** Κῦρος ἐκέλευε τὸν Κλέαρχον ἄγειν τὴν στρατιὰν κατὰ μέσον τὸ τῶν πολεμίων στρατόπεδον καὶ ἔλεγε ὅτι ἐκεῖ ὁ στρατηγὸς εἴη. **8.** Λέγεται ὁ Κροῖσος, ὁ τῶν Λυδῶν δεσποτης, καὶ τῷ πλούτῳ καὶ τῇ τῆς ἀρχῆς εὐδαιμονίᾳ καὶ τῇ τῆς στρατιᾶς ἀνδρείᾳ θαυμαστός τε καὶ εὔδοξος εἶναι.

PAROLE IN PRIMO PIANO

Il verbo πυνθάνομαι

Il verbo πυνθάνομαι presenta le seguenti accezioni:

- *informarsi, cercar di sapere, chiedere* (con l'accusativo o il genitivo, preceduto da περί, della cosa e il genitivo, semplice o preceduto da παρα, della persona);

> Ὁ στρατηγος **(παρὰ) τῶν αἰχμαλώτων τὴν ὁδὸν/ περὶ τῆς ὁδοῦ** πυνθάνεται
> Il comandante si informa **sulla strada** / cerca di sapere **la strada dai prigionieri**.

- *essere informato, venire a sapere, sapere* (con l'accusativo o il genitivo, preceduto da περί, della cosa e il genitivo, semplice o preceduto da ἀπο, ἐκ, παρα, della persona),

> Οἱ στρατιῶται **τὴν** τοῦ στρατηγοῦ **προδοσίαν ἀγγέλου** πυνθανονται
> I soldati apprendono **del tradimento** del comandante **da un messaggero**.

> Οἱ πολῖται **περὶ τῆς ἥττης ἀπὸ ξένου** πυνθάνονται.
> I cittadini vengono a sapere **della sconfitta da uno straniero**

In questa accezione il verbo può essere costruito anche con una proposizione completiva oggettiva.

> Οἱ πολῖται **τοὺς πολεμίους** τῇ χωρᾳ **πλησιάζειν** ἐκ τῶν κατασκοπων ἐπυνθάνοντο
> Οἱ πολῖται **ὅτι οἱ πολέμιοι** τῇ χώρᾳ **πλησιάζοιεν** ἐκ τῶν κατασκοπων ἐπυνθάνοντο.
> I cittadini venivano informati dalle spie **che i nemici si stavano avvicinando**.

Fai dunque molta attenzione al significato complessivo del contesto quando incontri questo verbo. Infatti la frase ὁ πολίτης τὴν τοῦ τυραννου τυχην (o περι τῆς τοῦ τυράννου τυχης) παρὰ ὁδευτοῦ πυνθάνεται puo significare tanto "il cittadino si informa sulla sorte del tiranno da un viandante" quanto "il cittadino viene a conoscenza della sorte del tiranno da un viandante".

ESERCIZIO
Alla ricerca del sinonimo

32. Con l'ausilio del dizionario completa lo schema sottostante, associando a ciascuno dei significati di πυνθάνομαι i verbi αἰτέω, γιγνώσκω, μανθάνω, ἐρωτάω.

- chiedere, informarsi, domandare

πυνθάνομαι

- venire a sapere, essere informato

ESERCIZIO
Significati di πυνθάνομαι

33. Traduci le seguenti frasi, attribuendo a πυνθάνομαι il significato più appropriato. Le voci del verbo sono in grassetto.

1. Οἱ Ἀθηναῖοι **πυνθάνονται** τοὺς πολεμίους στρατοπεδεύεσθαι ἐν τῷ πεδίῳ **2.** Οἱ πολῖται παρα τῶν φρουρῶν τὴν τῶν αἰχμαλώτων φυγὴν **ἐπυνθάνοντο**. **3.** Οἱ Ἀθηναῖοι **ἐπυνθάνοντο** ὅτι Δαρειῳ Ἀρταξέρξης καὶ Κῦρος υἱω εἴτην. **4.** Μὴ **πυνθάνῃ** τὴν ἀλήθειαν τοῦ συκοφάντου. **5.** Ὅτι οἱ πολῖται ἀφισταῖντο, ὁ τύραννος ἀπὸ τῶν φρουρῶν **ἐπυνθάνετο** **6.** Οἱ ἄνθρωποι παρα τῶν φιλοσόφων περὶ τῆς εὐθυμίας **πυνθάνονται**.

ESERCIZIO
Riconoscimento

34. Scegli la forma corretta fra quelle indicate e traduci sul quaderno.

1. Ὁ στρατηγὸς τοῦ προδότου τὸν προδότην ἐν τῷ στρατοπέδῳ κρύπτεσθαι ἐπυνθάνετο. **2.** Οἱ ὁδοιποροι ἐφοβεοντο, ἐπει παρὰ περι τῶν κωμητῶν ἐπυνθάνοντο τὰς τῆς χώρας ὁδοὺς κινδύνων τε και λῃστῶν μεστὰς εἶναι. **3.** Ἐπυνθανετο ἡ δέσποινα εκ τοῦ δούλου ὡς εν τῇ αγορᾷ λαμπρὰ ἱμάτια πωλέωνται πωλέοιντο, **4.** Ὁ γεωργὸς παρὰ τοῦ παροίκου περὶ τοῦ παροίκου πυνθανεται τὴν τῶν πολεμίων εισβολήν. **5.** Ἡ παρθένος ἀπὸ τοῦ καπήλου περὶ τῆς τιμῆς τῇ τιμῇ τοῦ ἱματίου πυνθάνεται

VERSIONE
Difficoltà

59 Ibico e le gru

Alcuni briganti uccisero il poeta Ibico, ma delle gru fecero in modo che l'omicidio fosse vendicato.

Ἴβυκος ὁ ποιητὴς ἐν ὁδῷ φονεύεται ὑπὸ λῃστῶν. Οὔτε ἑταῖροι οὔτε ἄλλοι παρῆσαν· οὕτως οὐδεὶς ("nessuno", nom. m. sing.) μαρτυρίαν τῆς ἐπιβουλῆς παρέχειν ἐδύνατο. Πρὶν δὲ ἀποθνήσκειν, ὁ ποιητὴς γεράνους βλέπει καὶ αὐτοὺς αἰτέει τιμωρέειν τὸν φόνον. Οἱ συμπολῖται τοὺς κακούργους ἐζήτεον αλλ᾽ οὐχ εὑρίσκειν ἐδύναντο. Ὕστερον ὁ δῆμος ἐν τῷ θεάτρῳ συναγείρεται ἵνα τραγῳδίαν βλέπῃ. Ἐξαίφνης γέρανοι διὰ τοῦ οὐρανοῦ διεπέτοντο. Οἱ λῃσται γελάουσι καὶ λέγουσι ὅτι οἱ γέρανοι τιμωροι τοῦ Ἰβύκου εἰσίν. Πολιτης τις ("un cittadino", nom. m. sing.) δὲ αὐτῶν ακούει καὶ ἀπέγγελει τοῖς φυλακοῖς. Οἱ κακοῦργοι οὖν ἀναγκάζονται τὸν φόνον ὁμολογέειν καὶ οἱ δικασταὶ αὐτῶν θάνατον καταδικάζουσιν.

LAVORIAMO SULLE COMPETENZE

Competenze linguistiche

a. Individua e proposizioni oggettive presenti nel testo e illustrane la costruzione.

b. παρεχειν (r. 2): come si giustifica la presenza di questo infinito nel testo? È il verbo di una proposizione oggettiva?

c. αὐτούς (r. 3): a chi si riferisce questo pronome?

d. ἵνα τραγῳδιαν βλέπῃ (r. 5): di che tipo di proposizione si tratta?

Competenze lessicali

e. Sottolinea nel testo i termini che pertengono al lessico delle colpe e delle pene.

f. συναγείρεται (r. 5), aiutandoti con il vocabolario, individua quali sono le diverse possibilità per tradurre questo verbo a seconda della sua diatesi

Comprensione

g. Come vengono scoperti gli assassini?

VERSIONE **60**

Difficoltà

Una triste vittoria

Nonostante gli venga riferita la notizia di una vittoria riportata contro gli abitanti di Corinto, Agesilao non esulta: sarebbe meglio che i Greci unissero le loro forze contro i barbari, piuttosto che continuare a versare il sangue dei propri connazionali in assurde guerre fratricide.

Τῷ Ἀγησιλάῳ ἠγγέλλετο ὡς ἐν τῇ ἐν Κορίνθῳ μάχῃ ὀκτὼ μὲν Λακεδαιμονίων, ἐγγὺς δὲ μύριοι τῶν πολεμίων τεθναῖεν[1] αὐτὸς δὲ οὐκ ἐφήδετο τῇ ἀγγελίᾳ, ἀλλ᾽ ἔλεγε «Φεῦ σου, ὦ Ἑλλάς[2], ἐπειδὴ εἰς Ἅιδου ἰάπτεις τὰς ψυχὰς ἀνθρώπων ἱκανῶν ὥστε νικᾶειν ἐν τῇ μάχῃ ἀναριθμήτους βαρβάρους». Ἔπει δὲ οἱ ἐκ Κορίνθου φυγαδικοὶ ἔλεγον ὅτι ἐνδιδοῖτο αὐτοῖς ἡ πόλις[3], καὶ μηχανὰς ἐπεδείκνυσαν ὠφελίμας, ὡς τὴν πόλιν λαμβάνοιντο, ὁ Ἀγησίλαος οὐκ ἤθελε προσβάλλειν· ἔλεγε γὰρ ὅτι οὐκ ἀνδραποδίζεσθαι δέοι τοὺς ἀδελφοὺς ἀλλὰ σωφρονίζειν.

da Senofonte

---

1. τεθναῖεν: "erano morti".
2. Φεῦ σου, ὦ Ἑλλάς: "povera te, Grecia!".
3. ἡ πόλις "la città", nom. f. sing.; come ti suggerisce l'articolo, più avanti dello stesso sostantivo troviamo l'accusativo (τὴν πόλιν)

LAVORIAMO SULLE **COMPETENZE**

Competenze linguistiche

a. Individua e analizza tutte le proposizioni completive presenti nel testo.
b. Individua e analizza gli ottativi presenti nel testo.
c. ἐγγύς (r. 1) quale valore assume questo avverbio quando si accompagna a un numerale?
d. εἰς Ἅιδου (r. 3): come si giustifica il genitivo in dipendenza dalla preposizione εἰς?
e. Volgi il discorso indiretto presente nell'ultimo periodo in discorso diretto

Competenze lessicali

f. Con l'aiuto del dizionario, individua il significato dell'aggettivo ἱκανός seguito da ὥστε e infinito.
g. Qual è l'etimologia dell'aggettivo ἀναρίθμητος?

Comprensione

h. Che cosa dicono gli esuli di Corinto? Qual è la reazione di Agesilao?

▶ Rilievo votivo con Artemide davanti a *Kephisos*, dio dei fiumi, e tre ninfe, 410 a.C.

7 L'infinito sostantivato

SCHEDA MORFOSINTATTICA

In greco l'infinito può essere usato come un vero e proprio sostantivo: in tal caso è preceduto dall'articolo e assume all'interno della frase il valore non solo di soggetto o di oggetto, ma anche quello di qualsiasi altro complemento (specificazione, causa, mezzo ecc.) Laddove necessario, infatti, può anche essere introdotto da una preposizione.

> **Τῷ λέγειν** τὸν στρατηγὸν πείθομεν.
> **Con il parlare** (con le nostre parole) persuadiamo lo stratego.

> Ἡ τῶν τόπων ἀπειρία **τοῦ φοβέεσθαι** αἰτία ἐστὶ τοῖς στρατιώταις.
> L'inesperienza dei luoghi è causa **dell'aver paura** (= di timore) per i soldati

Per tradurre l'infinito sostantivato si può ricorrere a un **sostantivo** ricavato dall'infinito stesso

> **Τὸ γιγνώσκειν** ὠφέλιμόν ἐστιν.
> **La conoscenza** (lett. il conoscere) è utile.

Talvolta l'infinito sostantivato esprime una proposizione subordinata In particolare:

διὰ τό + inf. = causale ("poiché", "perché")
πρὸ τοῦ + inf. = temporale ("prima di", "prima che")
ἐπὶ τῷ + inf. = finale ("affinché", "per")

> **Πρὸ τοῦ** εἰς ἀγορὰν **ἧκειν** φίλῳ ἐπιτυγχάνω.
> **Prima di essere giunto** nell'agorà incontro un amico.

Ricorda che il soggetto della subordinata espressa dall'infinito sostantivato, quando diverso da quello della reggente, va in accusativo. Troveremo invece il nominativo quando l'infinito sostantivato sia accompagnato da un nome del predicato o da un complemento predicativo del soggetto e vi sia identità di soggetto tra tale infinito e la sua reggente

> Οἱ πολῖται φόβον εἶχον **διὰ τὸ τοὺς πολεμίους προσέρχεσθαι**.
> I cittadini avevano paura **perché i nemici si avvicinavano** (lett. per l'avvicinarsi i nemici).

> Ὁ τύραννος μισέεται **διὰ τὸ ὠμὸς εἶναι**.
> Il tiranno è odiato **perché è crudele** (lett. per l'essere crudele).

PREPARATI ALLA TRADUZIONE

ESERCIZIO
Infinito sostantivato

35. Collega ciascuna espressione con l'infinito sostantivato corrispondente, quindi traduci.

1. τῷ λέγειν	**a.** invece di parlare
2. διὰ τὸ λέγειν	**b.** in seguito al parlare
3. τοῦ λέγειν	**c.** prima di parlare
4. ἐν τῷ λέγειν	**d.** nel parlare
5. ἀντὶ τοῦ λέγειν	**e.** per (al fine di) parlare
6. τὸ λέγειν	**f.** il parlare
7. πρὸ τοῦ λέγειν	**g.** a causa del parlare
8. ἀπὸ τοῦ λέγειν	**h.** del parlare
9. ἐπὶ τῷ λέγειν	**i.** con il parlare
10. διὰ τοῦ λέγειν	**j.** per mezzo del parlare

TRADUCI

Per facilitarti nella traduzione, ricorda che in questa sezione di esercizi si usano termini tratti dal Lessico frequente, dal Lessico tematico e altri che troverai sul vocabolario.

DDI
Lettura espressiva delle versioni

ESERCIZIO
Infinito sostantivato

36. **Analizza e traduci le seguenti frasi. Gli infiniti sostantivati sono evidenziati.**

1. **Τὸ** θεοῖς **θύειν** τῶν ἀγαθῶν ἀνθρωπων ἐστί. **2.** Ὁ σιδηρουργὸς ἐργάζεται ἐπὶ **τῷ** τὰς ἐπιθυμίας τῶν τέκνων **ἐπακούειν**. **3.** Ὁ λαμπρὸς Λαερτιάδης μόνος αἴτιος **τοῦ** Τροίαν **ἁλίσκεσθαι** φαίνεται. **4.** Ὁ Σωκράτης **πρὸ τοῦ ἀποθνήσκειν** σὺν τοῖς μαθηταῖς περὶ τῆς ἀρετῆς διελέγετο **5.** Ἡ Τερψιχορη Μοῦσα οὕτως ὀνομαζεται **ἀπὸ τοῦ τέρπειν** τοὺς ἀκροατὰς τῷ χορῷ. **6.** Νῦν σφαιριζειν **ἀντὶ τοῦ** τροχῷ **παίζειν** ἐθέλω **7.** Οἱ πολῖται ἐν ταραχῇ γίγνονται **διὰ τὸ εἶναι** τοὺς πολεμίους ἐν τῇ χώρᾳ. **8.** Ἐν Πέρσαις **διὰ τὸ** ορεινὴν **εἶναι** τὴν χώραν χαλεπόν ἐστι καὶ **τὸ** ἵππους **τρέφειν** καὶ **τὸ ἱππεύειν** **9.** **Πρὸ τοῦ μάχεσθαι**, ὁ στρατηγὸς τοὺς στρατιώτας πρὸς την ἀνδρειαν παροξύνει. **10.** Συνέβαινε τοὺς στρατιώτας καταλείπεσθαι **διὰ τὸ** μηκέτι **δύνασθαι** πορεύεσθαι. **11.** Ἡ μὲν τέχνη **τοῦ** πλοῖον **κυβερνάειν** ἔργον ἐστὶ τοῦ κυβερνήτου, ἡ δὲ ἐμπειρία **ἐν τῷ** πολιτείαν **κυβερνάειν** τοῦ δημαγωγοῦ. **12.** **Τὸ** ἐλεύθερον **εἶναι** ἢ **τὸ δουλεύειν** οὐκ ἐπίστασαι

VERSIONE
Difficoltà

61 Quello che i Cretesi dicono

Creta era un'isola molto importante nell'antica Grecia, ma i suoi abitanti non avevano una buona fama. Si diceva infatti che fossero dei grandi mentitori.

Οἱ ἐκ τῆς Κρήτης οἰκέται Ἀθηνᾷ τὴν τῶν ἐλαιῶν εἰσαγωγὴν εἰς τὴν νῆσον προσάπτουσιν. Νομίζουσι γὰρ τὴν θεὰν φυτείαν παραδιδόναι τοῖς ἀνθρώποις καὶ τὴν τοῦ καρποῦ κατεργασίαν. Λέγουσι μὲν καὶ τὴν τῶν ἱματίων κατασκευὴν καὶ τὴν τεκτονικὴν τέχνην καὶ ἄλλας τέχνας εἰσάγεσθαι εἰς τὰς Ἑλληνικας χώρας ὑπὸ τῆς θεᾶς. Οἴονται δὲ τοὺς παλαιοὺς Κρῆτας ("Cretesi", acc. m. plur.) τὴν τῶν αὐλῶν κατασκευὴν καὶ τὴν μουσικὴν εὑρίσκειν. Οἱ Ἕλληνες ("I Greci", nom. m. plur.) οὐ πείθονται αὐτοῖς, ἐπεὶ πυνθάνονται αὐτοὺς ευφυῶς ψευδολογέειν. Παροιμία γὰρ διεδίδοτο· «Ὁ τῆς Κρήτης οἰκέτης τον πόντον ἀγνοέει». Παροιμία εἰς τους προσποιουμένους ἀγνοεῖν ("coloro che fingono di ignorare") ἀναφέρει· οἱ γὰρ τῆς Κρήτης οἰκέται ἐμπειροθάλασσοί ("lupi di mare", nom. m. plur.) εἰσι.

LAVORIAMO SULLE **COMPETENZE**

Competenze linguistiche

a. Nel testo è presente una proposizione causale. Individuala e analizzala.
b. Individua tutti i verbi che reggono delle proposizioni completive.
c. πυνθάνονται (r. 7) quale costruzione presenta questo verbo in questo contesto?

Competenze lessicali

d. πείθονται (r. 6) aiutandoti con il vocabolario, individua le diverse modalità di utilizzo e le varie costruzioni supportate da questo verbo.

Comprensione

e. Quale proverbio circola in relazione ai Cretesi? Come bisogna interpretarlo?

VERSIONE

Difficoltà

62 La battaglia di Maratona

Quando nella primavera del 490 a.C. una potente armata persiana si presenta dinnanzi alle coste dell'Attica, gli Ateniesi affrontano da soli il nemico

Ἐπεὶ συνέβαινε ὅτι οἱ Πέρσαι εἰς τὴν Ἀττικὴν ἀναρίθμῳ στρατῷ ἐπιβάλλειν μέλλοιεν, οἱ Ἀθηναῖοι ἀγγέλους εἰς Σπάρτην περὶ τῆς βοηθείας ἔπεμπον. Οἱ δὲ Σπαρτιᾶται τὴν βοήθειαν στέλλειν ἀνῆνοντο, ἐπεὶ ἔλεγον ἀνάγκην εἶναι τὴν πανσέληνον ἡμέραν ἀναμένειν. Ἐν δὲ τῷ μεταξὺ χρόνῳ οἱ Πέρσαι ἐπέβαινον καὶ στρατὸν ἐν τῷ Μαραθωνίῳ πεδίῳ ἐτάσσοντο. Οἱ μὲν οὖν Ἀθηναῖοι ὀλίγοι εἶναι ἐγίγνωσκον ἀλλὰ οὐ μόνον δεκαπλασίᾳ στρατιᾷ ἀντεῖχον, ἀλλὰ καὶ πρῶτοι Μιλτιάδου συμβουλῇ κατὰ τοὺς βαρβάρους ἐπέτρεχον. Οἱ ἱστοριογραφοι λεγουσιν ὅτι ἐν τῇ μάχῃ οἱ μὲν Περσαι τοὺς ἐν τῷ μέσῳ ἐναντίους εἰς φυγὴν ἔτρεπον, οἱ δὲ Ἀθηναῖοι ἐκ τῶν πλευρῶν τοὺς βαρβάρους περιέβαλλον καὶ διέκοπτον. Καὶ οἱ θεοὶ τῆς μάχης μετεῖχον κατὰ τῶν Περσῶν, διὰ τὸ τοὺς βαρβάρους ἀνοσίους γίγνεσθαι. Μετὰ τὴν ἧσσαν οἱ Πέρσαι ἐπείραζον εἰς τὰς Ἀθήνας κατα θάλασσαν εισβάλλειν, οἱ δὲ τοῦ Μιλτιάδου στρατιῶται τὴν τῶν βαρβάρων εἰσβολὴν ἔφθανον καὶ τῆς νίκης τροπαῖον ἵστασαν.

LAVORIAMO SULLE **COMPETENZE**

Competenze linguistiche

a. Individua e analizza gli infiniti sostantivati

b. Individua e analizza le proposizioni soggettive presenti nel testo.

c. ὀλίγοι (r. 5). perché questo aggettivo è al nominativo pur trovandosi all'interno di una proposizione infinitiva?

Competenze lessicali

d. Nel testo ricorre spesso il sostantivo βάρβαροι. A chi si riferisce?

e. Ἐν δὲ τῷ μεταξὺ χρόνῳ (r. 4). come tradurre questa espressione temporale?

Comprensione

f. Qual è la dinamica della battaglia secondo gli storici?

VERSIONE

Difficoltà

63 Il Sole si sposa

Mentre tutti festeggiano il lieto evento, c'è chi ne fa notare alcune pericolose conseguenze.

Οἱ ἔνδοξοι γάμοι ποτε τοῦ Ἡλιου γίγνονται, καὶ ὅλα τὰ ζῶα σὺν περιχαρείᾳ λαμπρὰ δῶρα τῷ θεῷ δίδωσι, καὶ κώμους καὶ χορείας ἄγει. Καὶ οἱ βάτραχοι κράζουσιν ἰσχυρῶς (avv.), καὶ ἀσμένως (avv.) ἐν τῇ λιμνῃ χορεύουσιν. Ὁ δὲ γεραιὸς καὶ σοφὸς φρῦνος τὴν ἑορτὴν ἀπο τῆς ὄχθης βλέπει, καὶ την κεφαλὴν σείει καὶ φρονίμως (avv.) λέγει «Ὢ ἀλόγιστα ζῷα, νομίζω τους τοῦ Ἡλιου γάμους οὐ χαράν, ἀλλὰ παντοίας μερίμνας καὶ λύπας τοῖς βατράχοις τιθέναι. Ὁ γὰρ Ἥλιος νῦν καὶ μόνος ποταμοὺς καὶ λίμνας αὐαίνει, καὶ οἱ ἄθλιοι τῆς λίμνης οἰκηταὶ θνῄσκουσιν· εἰ δὲ καὶ παιδία τῷ οὐρανίῳ θεῷ γίγνεται, οὐ μόνον τοῖς βατραχοις. ἀλλα καὶ ὅλοις τοῖς ζῴοις καὶ τοῖς ἀνθρωποις καὶ τοῖς δένδροις τὸ τὸν βίον ἄγειν οὐκέτι δυνατόν ἐστι».

LAVORIAMO SULLE **COMPETENZE**

Competenze linguistiche

a. Individua l'infinito sostantivato presente alla fine del brano.

b. Individua le subordinate implicite ed esplicite presenti nel brano.

c. ποτέ (r. 1): di che forma si tratta?

Competenze lessicali

d. Individua il campo semantico legato alla festa e alle nozze facendo riferimento a vocaboli presenti nella versione.

e. Individua il campo semantico legato allo stagno e ai suoi abitanti facendo riferimento ai vocaboli presenti nella versione.

Comprensione

f. τῷ οὐρανίῳ θεῷ (r. 7): di chi si tratta?

VERSIONE

Difficoltà

64 Clemenza di Alessandro

Alessandro Magno si comportò in maniera piuttosto indulgente nei confronti di alcuni nemici sconfitti

Ὁ Ἀλέξανδρος τιμὴν ταῖς τέχναις καὶ τοῖς τεχνίταις καὶ μάλιστα ("soprattutto" avv.) τοῖς ποιηταῖς **ἀπονέμειν** εἴθιζε· λέγουσι γαρ ὅτι μετὰ τὴν **κατασκαφὴν** τῶν Θηβῶν ἐκέλευε τοὺς στρατηγοὺς μὴ διαφθείρειν τὴν οἰκίαν Πινδάρου τοῦ ἐνδόξου ποιητοῦ.
Οἱ Ἀθηναῖοι ἐχθροι ἦσαν τῷ Ἀλεξάνδρῳ, ὁ δὲ οὐκ ἔθελε κολάζειν, ἐπει αὐτους πρώτους ἐνόμιζεν τῇ τε ἀνδρείᾳ καὶ τῇ **φιλοτεχνίᾳ**· λέγουσι γὰρ τοὺς Ἀθηναίους αἰτίους εἶναι τῆς ἡμετερας ἐλευθερίας καὶ ευρετὰς τῶν τεχνῶν. Ὅτε δὲ οι Ἀθηναῖοι πρεσβευτὰς ἔπεμπον καὶ συνέχαιρον τῷ Ἀλεξάνδρῳ επὶ τῇ τῶν Θηβῶν κατασκαφῇ, ἐκέλευε μόνον Χαρίδημον τον στρατηγον **φυγαδεύειν** ἐπεὶ ἦν δὲ ὁ Χαρίδημος πολέμιος τῷ Ἀλεξάνδρῳ καὶ τῇ Μακεδονικῇ **ἡγεμονίᾳ**. Ἔτι δὲ ἐνομιζεν ὁ Ἀλέξανδρος οὐ προσήκειν αὐξάνειν τὴν τῶν Ἀθηναίων ἔχθραν· κίνδυνος γὰρ ἦν τοὺς Ἀθηναίους ἔχθρα τοῦ Ἀλεξάνδρου καὶ τῆς ἐλευθερίας ἐπιθυμία συμμαχίαν ποιέεσθαι τοῖς Πέρσαις.

LE PAROLE E IL LORO CONTESTO

Nella tabella sottostante trovi le parole in grassetto nel testo. Ponendole in rapporto con il contesto, completa la tabella scrivendo il traducente adatto o motiva quello proposto.

Vocabolo greco	Traducente	Contesto semantico
ἀπονέμω		Il verbo νέμω indica il "distribuire" qualcosa. Come tradurre questo suo composto?
κατασκαφή	"distruzione"	
φιλοτεχνία	"amore per le arti"	
φυγαδεύω		Il sostantivo φυγή, da cui deriva questo verbo, indica sia la "fuga" che l'"esilio". Quale fra queste due sfumature assume in questo contesto?
ἡγεμονία		Questo termine greco si ritrova identico in italiano, ma quando si traduce è sempre meglio cercare di discostarsi da facili sovrapposizioni. Per farlo rifletti sul legame fra questo sostantivo e il verbo ἡγέομαι "condurre", "guidare".

PAROLE IN PRIMO PIANO

I pronomi dimostrativi

In greco si incontrano tre pronomi / aggettivi dimostrativi di uso molto frequente.

- ὅδε, ἥδε, τόδε, "questo"
- οὗτος, αὕτη, τοῦτο, "questo", "codesto"
- ἐκεῖνος, ἐκείνη, ἐκεῖνο, "quello".

Vediamoli nel dettaglio.

▶ ὅδε, ἥδε, τόδε

Indica qualcuno o qualcosa che sta vicino a chi parla o chi ascolta (= questo). Di solito è usato in **funzione prolettica**, riferendosi a qualcosa che non è stato ancora menzionato
È formato dall'articolo ὁ, ἡ, τό, che si declina regolarmente, e dalla particella indeclinabile -δε.

▶ οὗτος, αὕτη, τοῦτο

Indica anch'esso qualcuno o qualcosa che sta vicino a chi parla o chi ascolta ("codesto"), ma di norma è usato in **funzione anaforica**, riferendosi a qualcosa che è già stato menzionato.
In particolare ricorda le seguenti espressioni:

– **διὰ τοῦτο** = perciò;
– **μετὰ ταῦτα** = dopo questi fatti, in seguito;
– **πρὸς τούτῳ, πρὸς τούτοις** = oltre a ciò, inoltre.

	ὅδε, ἥδε, τόδε			οὗτος, αὕτη, τοῦτο		
	Maschile	**Femminile**	**Neutro**	**Maschile**	**Femminile**	**Neutro**
Singolare	ὁδε	ἡδε	τόδε	οὗτος	αὕτη	τοῦτο
	τοῦδε	τῆσδε	τοῦδε	τουτου	ταύτης	τούτου
	τῷδε	τῇδε	τῷδε	τούτῳ	ταύτῃ	τούτῳ
	τονδε	τὴνδε	τοδε	τοῦτον	ταύτην	τοῦτο
Duale	τωδε	ταδε	τώδε	τουτω	ταυτα	τούτω
	τοῖνδε	ταῖνδε	τοῖνδε	τούτοιν	ταύταιν	τούτοιν
Plurale	οἵδε	αἵδε	τάδε	οὗτοι	αὗται	ταῦτα
	τῶνδε	τῶνδε	τῶνδε	τούτων	τούτων	τούτων
	τοῖσδε	ταῖσδε	τοῖσδε	τούτοις	ταύταις	τούτοις
	τουσδε	τάσδε	τάδε	τούτους	ταύτας	ταῦτα

▶ ἐκεῖνος, ἐκείνη, ἐκεῖνο

Indica qualcuno o qualcosa che è distante rispetto a chi parla o chi ascolta (= quello) Si declina come αὐτός, αὐτή, αὐτό.

VERSIONE

Difficoltà

65 Lupi e capretti (1)

Un capretto sta per essere divorato da un lupo, ma con un astuto stratagemma riesce a ingannare il predatore

Ἔριφός ποτε διὰ τὸ ὑστερίζειν ἀπὸ ("lontano dal") τῆς ποίμνης ὑπὸ λύκου κατεδιώκετο. Ὡς δὲ λαμβάνεσθαι ἔμελλε, ὁ ἔριφος τῷ λύκῳ ἔλεγε «Ἤδη ἐπίσταμαι, ὦ λύκε, ὅτι σὸν δεῖπνόν εἰμι· Ἀλλ᾽ ἵνα μὴ ἀδόξως ἀποθνήσκω, αὔλει, ὅπως ὀρχέωμαι» Ὁ δὲ λύκος ἔνευε καὶ πρὸ τοῦ ἔριφον σφάττειν ηὔλει, ἀλλ᾽ ὑπὸ κυνηγεσίου ηκούετο καὶ ταχέως ἀποφεύγειν ἠναγκάζετο Πρὸ δὲ τοῦ ἁπαλλάσσεσθαι ὁ λύκος τῷ ἐρίφῳ ἔλεγε «Δίκαια πάσχω· ἔδεε γάρ με μακελλάριον ὄντα[1] αὐλητὴν μὴ μιμέεσθαι».

da Esopo

1. ὄντα. "essendo".

LAVORIAMO SULLE COMPETENZE

Competenze linguistiche

a. Individua tutti gli infiniti sostantivati presenti nel brano e indicane il valore.
b. Individua e analizza tutte le proposizioni finali presenti nel brano.

Competenze lessicali

c. ποτέ (r. 1): come potresti tradurre questo avverbio che spesso si ritrova all'inizio delle favole?
d. κυνηγεσίου (r. 4): da quali parole è composto questo termine?

Comprensione

e. Come mai il lupo non mangia il capretto?

VERSIONE

Difficoltà

66 Lupi e capretti (2)

Talvolta le circostanze possono rendere coraggioso anche chi non lo è per natura.

Ἔριφός ποτε ἐπὶ τῆς οἰκίας στέγης ἦν καὶ ᾤφετο ἐν ασφαλείᾳ εἶναι διὰ τοῦτο, ἐπεὶ ὁ λύκος παρῆρχετο, ἐκεῖνος ἔσκωπτεν τὸ ζῷον ἀλαζονικοῖς λόγοις καὶ ἔλεγε· «Ὦ πανοῦργε λύκε, ἐγὼ μάλα ανδρεῖος καὶ τολμηρός εἰμι· οὐ δειμαίνω τὰς σὰς ἀπειλάς». Τότε δὲ ὁ λύκος τῷ ἐρίφῳ ἀντέλεγε «Οὐ σύ με λοιδορέεις, ἀλλ᾽ ὁ τόπος». Ὁ λόγος δηλόει ὅτι οἱ καιροὶ διδόασι τὴν ἀνδρείαν καὶ τοῖς δειλοῖς.

da Esopo

LAVORIAMO SULLE COMPETENZE

Competenze linguistiche

a. Sottolinea tutti i pronomi e gli aggettivi personali presenti nel testo
b. ἐν ἀσφαλείᾳ εἶναι (r. 1), che tipo di proposizione è questa? Qual è il soggetto?
c. ὅτι διδόασι (rr. 4-5) si tratta di una proposizione soggettiva o oggettiva?

Competenze lessicali

d. ἐκεῖνος (r. 2): a chi si riferisce, al lupo o al capretto?
e. Che valore ha l'ultimo καί presente nel testo?

Comprensione

f. Come si spiega la morale finale?

TRADUCI SENZA VOCABOLARIO

Leggi con attenzione il brano che contiene alcuni vocaboli tratti dal lessico tematico e tenta di comprenderne il significato generale senza l'aiuto del vocabolario. Aiutati con le note esplicative in cui sono mostrati termini derivati da quelli presenti nel testo (< o >), sinonimi (=), contrari (≠), parole di significato simile (≈). Infine, rispondi alle domande di comprensione.

VERSIONE

Difficoltà

67 Un contadino e i suoi figli

Molte sono le fatiche che deve sopportare un contadino e fra queste possono esserci anche i grattacapi procurati da un figlio irrequieto.

Ὁ βίος τοῖς γεωργοῖς πολλούς ("molte", acc. m. plur.) πόνους φέρει[1] ἀλλ᾽ οἱ δὲ σὺν θεοῖς αὐτοὺς φέρειν[1] δύνανται. Τῷ ἀγαθῷ γεωργῷ τοὺς θεοὺς θεραπευειν προσήκει καὶ τοὺς ἐκ τῶν ἀγρῶν καρποὺς θύειν[2], ἐπεὶ οἱ θεοὶ τοῖς καρποῖς χαίρουσιν[3].

Τρύγαιος ("Trigeo") ὁ γεωργὸς δύο ("due") υἱοὺς εἶχε καὶ αὐτὼ ἐν τοῖς ἀγροῖς συμπράττειν[4] ἐκέλευεν. Ὁ μὲν ἀγαθός ἐστι καὶ τῷ γεωργῷ ὑπέκουε, ὁ δέ, Φιλόξενος ὀνομαστί ("di nome"), τοὺς πόνους ἔφευγεν. Ἀντὶ τοῦ ἐργάζεσθαι ὁ Φιλόξενος εἰς ἀγορὰν ἤρχετο ἵνα τοῖς ἀστραγάλοις σὺν τοῖς φίλοις παίζοι. Ἐλέγετο τὸν νεανίαν περιδίδοσθαι[5] φιλέειν καὶ οἶνον πίνειν[6]. Ὁ Τρύγαιος τὴν κακὴν φήμην[7] τοῦ υἱοῦ ἐγίγνωσκε ἀλλ᾽ οὐκ ἐδύνατο αὐτὸν κολάζειν καὶ τοῦτο ἄλλον πόνον ἐνόμιζε.

1. φερω = lat. *fero*
2. θύω = τοῖς θεοῖς δίδωμι
3. χαίρω = ἡδονην ἔχω
4. συμπράττω < σύν + πραττω = Τρυγαιω βοηθέω
5. περιδίδομαι = νικάειν ἐλπίζω εἰς τὸ χρυσὸν ἔχειν
6. πίνω ≈ ἐσθίω
7. φήμη = δόξα.

1. Il contadino è inoperoso. V F
2. Il contadino ha due figli, di cui uno è inoperoso. V F
3. Trigeo è il nome di uno dei figli del contadino. V F
4. Uno dei figli dei contadini gioca d'azzardo. V F

▶ Affresco proveniente dal Palazzo di Cnosso, XVI secolo a C.

VERIFICA DI FINE UNITÀ

ESERCIZIO
Congiuntivo e ottativo

1. Volgi le seguenti forme verbali al congiuntivo e all'ottativo, mantenendo persona, numero e diatesi.

	Congiuntivo	Ottativo
1. γίγνονται		
2. τίθης		
3. τρέφουσιν		
4. ἐργαζόμεθα		
5. τρέπει		
6. ἐστί		
7. δείκνυσαι		
8. ἔχεις		
9. ἰᾶσι		
10. δέχομαι		
11. δίδωμι		
12. τίθενται		
13. δύνασθε		
14. κινδυνεύει		
15. μένομεν		

ESERCIZIO
Congiunzioni subordinanti

2. In questa unità abbiamo incontrato alcune congiunzioni subordinanti che possono avere diversi significati. Proviamo a ricapitolare, completando la seguente tabella.

Congiunzione	Modo	Proposizione
1. ὅτι	+ ind./ott.	**1.** **2.**
2. ὡς	+ ind.	**1.** **2.**
	+ cong.	**1.**
	+ ott.	**1.** **2.** **3.**
3. ἐπεί	+ ind./ott.	**1.**

VERIFICA DI FINE UNITÀ

ESERCIZIO
Proposizioni finali, causali, soggettive e oggettive

3. **Indica se le proposizioni evidenziate sono soggettive (S), oggettive (O), finali (F) o causali (C).**

1. Χαίρετε καὶ τῇ ψυχῇ ἡδονην δίδοτε, **ὡς** ἐφήμερός **ἐστιν** ὁ ἀνθρώπινος βίος. S O F C
2. Ὁ Σωκράτης ("Socrate", nom. m. sing.) διεβάλλετο, **ὡς** τοὺς νεανίας **διαφθείροι** S O F C
3. Ὁ φιλόσοφος τοῖς νεανίαις τὴν ὁδὸν τὴν εἰς ἀρετὴν ἐδείκνυ, **ἵνα** ἀγαθοὶ πολῖται **γίγνοιντο**. S O F C
4. Ὁ πρεσβευτὴς ἐλέγετο θαυμαστὰ δῶρα **φέρειν** S O F C
5. Ἔξεστι **τὸν κλέπτην** τῷ ἰδίῳ ἔργῳ **αἰσχύνεσθαι**. S O F C
6. **Διὰ** τὸ δεινὸς **εἶναι**, ὁ τύραννος ἀπὸ τῶν πολιτῶν μισέεται. S O F C
7. Ὁ στρατηγὸς ἐκ τοῦ αἰχμαλώτου ἐπυνθάνετο **ὅτι** οἱ πολέμιοι μάχης ἄπτεσθαι **μέλλοιεν**. S O F C
8. Πρέπει **τοὺς δικαστὰς** μετὰ σοφοῦ καὶ ἡσύχου θυμοῦ τοὺς πολίτας **κρίνειν**. S O F C

ESERCIZIO
Proposizioni finali, causali, soggettive, oggettive e temporali

4. **Indica il significato delle congiunzioni subordinanti evidenziate, specificando se le proposizioni successive sono soggettive (S), oggettive (O), finali (F), causali (C) o temporali (T).**

1. **Ἐπεὶ** [ ] δὲ οἱ στρατηγοὶ ὑπὸ τοῦ σατράπου προδοσίᾳ συνελαμβάνοντο, ἐν ἀπορίᾳ ἦσαν οἱ στρατιῶται. **2.** Ἐλπίζετε **ὡς** [ ] οἱ συμμαχοι ἔρχονται **3.** Ἔστι ἐν τῷ στρατοπέδῳ θόρυβος δεινὸς **ἐπεὶ** [ ] οἱ βάρβαροι πανταχόθεν εἰσβάλλουσι καὶ πανταχῇ οἱ στρατιῶται ἀμύνονται· **ἐπεὶ** [ ] δὲ σκότος γίγνεται, οἱ βάρβαροι ἀναχωρέονται καὶ οἱ στρατιῶται ἀναπαύονται. **4.** Ὁ δῆμος τὸν Ἀλκιβιάδην θανάτῳ ἀποκρίνειν ἔμελλεν **ὡς** [ ] δεινῶν κακῶν τοῖς Ἀθηναίοις αἴτιος εἴη, ὁ δὲ Ἀλκιβιάδης **ὡς** [ ] τὸν θάνατον ἀποφεύγοι εἰς τὴν Σπάρτην ἤρχετο.

ESERCIZIO
Infinito sostantivato

5. **Trasforma le frasi evidenziate in infiniti sostantivati, quindi traduci.**

1. **Ὅπως** τὴν ἐλευθερίαν **σῴζωμεν**, πρὸς τοὺς πολεμίους μαχώμεθα.
2. Ὁ Ἀγησίλαος τὰ τῶν Περσῶν δῶρα λαμβάνει **ἵνα** εἰρήνην **ποιῆται**.
3. Οἱ πολέμιοι ἔφευγον **ὅτι** οἱ σύμμαχοι **ἐπήρχοντο**.
4. Οἱ φιλάργυροι παντοδαποὺς πόνους ὑπομένουσιν **ἵνα πλουτίζωνται**.
5. Δίκαιόν ἐστι λέγειν **ἐπεὶ νοέομεν**.

ESERCIZIO
Infinito sostantivato

6. **Traduci le seguenti espressioni.**

1. ἐπὶ τῷ κλέπτειν **2.** ἀντὶ τοῦ ἔρχεσθαι **3.** ὑπὲρ τοῦ μὴ πάσχειν

Per esercitarti
Laboratorio di traduzione, p. 24

Sostantivi, aggettivi e verbi contratti

Inquadra il QR code per: studiare con schemi e sintesi digitali i nomi e gli aggettivi contratti della I e II declinazione e i verbi contratti

DDI

GRAMMATICA

1 Sostantivi e aggettivi contratti
2 Verbi contratti

LESSICO

Lessico frequente 17, p. 236
Lessico frequente 18, p. 240
Lessico tematico I verbi della "vista", p. 240
GIRA LA RUOTA, p. 245
TRADUCI SENZA VOCABOLARIO, p. 249

COMPETENZE

Versioni, p. 239; 247-249
Il laboratorio delle competenze, pp. 251-253
Verso l'Esame di Stato, p. 254
Versioni di riepilogo, pp. 255-258

1 Sostantivi e aggettivi contratti

Grammatica cap. 10, parr. 1-2 ▶ pp. 67-70

Lessico frequente 17

Sostantivi

Ἀθηνᾶ, -ᾶς, ἡ = Atena
γαλῆ, -ῆς, η = faina
γῆ, -ῆς, η = terra
Ἑρμῆς, -οῦ, ὁ = Hermes (duale e plur. Erme)
κανοῦν, -οῦ, τό = canestro
μνᾶ, -ᾶς, η = mina (unità monetaria)
d. Sottolinea tutti i termini che hanno a che fare con le attività che si svolgono durante le feste.
e. μεγαλοπρεπεῖς (r. 2) di quali termini si compone questo aggettivo?
f. ποτήρια (r. 4), a quale sostantivo, egualmente presente all'interno del testo, si collega questo termine? Che cosa indica il suffisso che vi è apposto?

Comprensione

g. Quali azioni svolge Filippo durante la festa?

VERSIONE
Difficoltà

127 Avventure degli Argonauti

Una delle tante avventure vissute dagli Argonauti, che coinvolge, questa volta, il dio Apollo.

Οἱ Ἀργοναῦται, πλέοντες νυκτός, σφοδρῷ χειμῶνι περιπίπτουσι. Ἀπόλλων δέ, καθεζόμενος ἐπὶ τὰς Μελαντείους πέτρας, τοξεύων τῷ βέλει εἰς τὴν θάλασσαν κατήστραπτε. Οἱ δὲ πλησίον ἐθεῶντο νῆσον, ἣ ("alla quale") προσορμιζόμενοι ἐκ τῆς νεὼς ἐξέβαινον. Ἱδρυόμενοι δὲ βωμὸν Ἀπόλλωνος ἐθυσίαζον καὶ ἐπὶ μεγαλην εὐωχιαν ετρέποντο. Αἱ δε χαρίεσσαι θεραπαιναι τοὺς ἀριστεας ἔσκωπτον μετὰ παιγνίας. ὅθεν ἔτι καὶ νῦν ἐν τῇ θυσίᾳ ταῖς γυναιξὶ σύνηθές εστι τὸ σκώπτειν. Ἐντεῦθεν οἱ Ἀργοναῦται ἀναγομενοι εκωλύοντο Κρήτῃ προσίσχειν ὑπὸ Τάλω, ὃ ("il quale", neutro, concordato con τέρας) τέρας λέγουσι οἱ μὲν τοῦ χαλκοῦ γένους εἶναι, οἱ δὲ τοῦ Ἡφαίστου τέχνημα.

da Apollodoro

LAVORIAMO SULLE **COMPETENZE**

Competenze linguistiche

a. Individua tutti i participi presenti nel testo, analizzali e indicane la funzione sintattica.

b. νυκτός (r. 1) che caso è? A che declinazione appartiene questo sostantivo? Declinalo per intero.

c. χειμῶνι (r. 1) che caso è? Come ne giustifichi la presenza sul piano sintattico?

d. σκώπτειν (r. 6)· qual è la funzione sintattica di questo termine?

Competenze lessicali

e. Sottolinea le parole afferenti al campo semantico della navigazione

f. προσορμιζομένοι (r. 3) aiutandoti con il vocabolario, individua a quale sostantivo è etimologicamente collegato questo verbo.

Comprensione

g. Il testo appena letto rientra nel genere dei racconti eziologici, che servono cioè a spiegare una realtà o una consuetudine ancora esistente al tempo di chi scrive. In questo caso, a quale realtà afferisce il racconto mitico presentato dall'autore?

VERSIONE

Difficoltà

128 L'antro di Atalanta

Figlia di Iaso, re dell'Arcadia, Atalanta fu abbandonata ancora in fasce sulle montagne interne del Peloponneso dal padre, che desiderava solo figli maschi. Allattata da un'orsa e allevata da alcuni cacciatori, la giovane crebbe sulle cime dei monti, in una grotta appartata e circondata da alberi, fiori e fonti, diventando un'abile cacciatrice.

Μυθολογοῦσι ὅτι ἡ Ἀταλάντη ἐν τοῖς τραχέσι ὀρεινοῖς αὐλῶσι τοῖς Ἀρκαδικοῖς ὑπὸ θηρευταῖς ἐτρέφετο ορείῃ τῇ τροφῇ ὡς τὰς τῶν ἀνδρῶν ὁμιλίας φεύγοι, κατελάμβανε τὰ ὑψηλὰ, ἔνθα ἦν καὶ αὐλὼν κατάρρυτος καὶ ἄκραι δρῦς, ἔτι δὲ καὶ πεῦκαι καὶ βαθεῖα ἡ ἐκ τούτων σκιά. Καὶ ἦν ἐν κοίλῃ τῇ φάραγγι σπηλαιον βαθὺ πάνυ, κατὰ πρόσωπον δὲ βαθεῖ κρημνῷ ωχυροῦτο. Κιττοὶ δὲ τὸ ἄντρον περιεῖρπον πολλοί, καὶ ἐνεπλέκοντο αὐτοὶ μαλακοῖς δένδρεσι κρόκοι τε ἦσαν περὶ τον τοπον φυόμενοι ἐν μαλακῇ καὶ βαθείᾳ πόᾳ. Δάφναι τε ἦσαν ἀναρίθμητοι, φυτῶν διὰ τέλους ἀκμαζόντων ἡδεῖαι κόμαι. Ὕδατά τε διατελῆ καὶ ἀεὶ ῥέοντα καὶ καθαρὰ καὶ ψυχρὰ χύδην καὶ ἀφθονως ἐπέρρει· ἦν οὖν τὸ χωρίον χαρίτων ἀνάμεστον καὶ σεμνόν.

da Eliano

LAVORIAMO SULLE **COMPETENZE**

Competenze linguistiche

a. ὑπὸ θηρευταῖς (rr. 1-2) di quale complemento si tratta?

b. ὡς (r. 2) quale verbo regge e che tipo di subordinata introduce?

c. ἡδεῖαι (r. 7) fletti per intero questo aggettivo insieme con il sostantivo κόμαι.

Competenze lessicali

d. Sottolinea i termini afferenti al campo semantico della botanica.

e. φυόμενοι (r. 6) a quale sostantivo della terza declinazione si connette etimologicamente questo termine?

f. πρόσωπον (r. 4) di quali parole si compone questo sostantivo?

Comprensione

g. Quali sono le caratteristiche del luogo dove si trova Atalanta?

2 Il participio predicativo

SCHEDA MORFOSINTATTICA

- Alcuni verbi trovano il loro completamento logico in un participio, che funge da predicato del soggetto o dell'oggetto. Da qui la definizione di participio "predicativo". Vediamone alcuni esempi.

> Οὐκ **αἰσχύνῃ** τὴν μητέρα σου **παίων**.
> Non **ti vergogni di picchiare** tua madre?
>
> **predicativo del soggetto**

> Ἡδέως **ἀκούω** τῆς ἀδελφῆς σου **ᾀδούσης**.
> **Ascolto** volentieri tua sorella **cantare**
>
> **predicativo dell'oggetto**

Come si evince dalle frasi riportate, il participio greco corrisponde a una proposizione completiva in italiano, che – in particolare – nel primo caso è dichiarativa e nel secondo oggettiva.

- Sono costruiti con il participio predicativo:

1. verbi che esprimono l'idea di **iniziare, finire, continuare** un'azione come: ἄρχομαι ("cominciare"); παύομαι, λήγω ("smettere"); διάγω, διατελέω ("continuare") ecc.

> Ὁ ῥήτωρ **ἄρχεται λέγων**.
> L'oratore **comincia a parlare**.

> Οἱ στρατιῶται **μαχόμενοι** οὐκ **ἐπαύοντο**
> I soldati non **smettevano** di **combattere**

2. locuzioni formate da un **aggettivo + il verbo εἶναι**, come δῆλός εἰμι ("sono chiaro" = "è chiaro che io"); φανερός εἰμι ("sono evidente" = "è evidente che io"); δικαιος εἰμι (sono giusto = è giusto che io) ecc.

> **Φανερὸς εἶ ἁμαρτάνων**.
> **È evidente che tu sbagli**.

> Ὁ Κλέαρχος δῆλός τ᾽ ἦν πάνυ φιλικῶς **οἰόμενος** διακεῖσθαι τῷ Τισσαρέρνει.
> Era chiaro che Clearco **credeva** di essere in rapporti assai amichevoli con Tissaferne

3. verbi di **percezione fisica e intellettuale**, come. ὁράω ("vedere"); ἀκούω ("sentire"); αἰσθάνομαι ("percepire"), πυνθάνομαι e μανθάνω ("venire a sapere"); γιγνώσκω ("sapere") ecc.

> Ὁ στρατηγὸς **πυνθάνεται** τοὺς πολεμίους διὰ τῆς χώρας **πορευομένους**
> Lo stratego **viene a sapere che** i nemici **avanzano** attraverso la regione.

4. verbi che significano **esporre, presentare, dimostrare**, come: ἀγγέλλω ("annunciare"); δηλόω e δείκνυμι ("mostrare"); ἐπιδείκνυμι ("dimostrare"); ποιέω ("rappresentare"), ἐξελέγχω ("confutare") ecc.

> Ἐθέλω **ἐπιδεικνύναι** τὸν στρατηγὸν προδότην **ὄντα**.
> Voglio **dimostrare che** lo stratego **è** un traditore.

5. verbi che indicano **stato d'animo** (***verba affectuum***), come: ἥδομαι e χαίρω ("rallegrarsi"); ἄχθομαι e ἀγανακτέω ("adirarsi, mal sopportare"); αἰδέομαι e αἰσχύνομαι ("vergognarsi") ecc.

> **Χαίρω** τοὺς φίλους **εὐεργετῶν**.
> **Mi rallegro di beneficare** gli amici.
> **Ἤχθετο** τὸν Θεμιστοκλέα στρατηγὸν **ὄντα**.
> **Mal sopportava che** Temistocle **fosse** stratego.

6. i verbi **φθάνω** ("prevenire, anticipare"), **λανθάνω** ("stare nascosto"), **τυγχάνω** ("essere per caso") e **φαίνομαι** ("apparire").

Attenzione: quando troverai questi verbi in unione a un participio predicativo:

- dovrai tradurli con un avverbio, e specificamente. φθάνω = "**prima**", λανθάνω = "**di nascosto**"/ "**senza saperlo**"; τυγχάνω = "**per caso**"; φαίνομαι = "**chiaramente**", "**manifestamente**";
- il participio predicativo andrà invece reso nel modo, nel tempo e nella persona del verbo reggente.

> Οἱ στρατιῶται εἰς τὴν θάλατταν **ἥκοντες φθάνουσιν**.
> I soldati **arrivano per primi** al mare.

> Οἱ στρατιῶται εἰς τὴν θάλατταν **ἥκοντες** τοὺς πολεμίους **φθάνουσιν**.
> I soldati **arrivano** al mare **prima** dei nemici.

> Νυκτὸς οἱ πολέμιοι εἰς τὴν πόλιν **εἰσερχόμενοι ἐλάνθανον**
> Di notte i nemici **entravano di nascosto** in città.

> Ὁ Οἰδίπους τὸν πατέρα **κτείνων λανθάνει**
> Edipo **uccide** il padre **senza saperlo**

> Ὁ βασιλεὺς εἰς τὸ στρατοπεδὸν **ἀφικνούμενος ἐτύγχανε**.
> Il re **giungeva per caso** all'accampamento.

> **Φαίνῃ ἁμαρτάνων**.
> **Chiaramente sbagli**

- Ricorda che alcuni verbi reggenti il participio predicativo possono essere costruiti anche con l'infinito, con una proposizione infinitiva oppure con una completiva introdotta da ὅτι o ὡς. Poiché in tal caso il significato può cambiare, ti suggeriamo di consultare attentamente il vocabolario.

> Φαίνεται **ψευδόμενος**
> Dice chiaramente **il falso**.

> Φαίνεται **ψεύδεσθαι**.
> Sembra che **dica il falso**.

PREPARATI ALLA TRADUZIONE

I seguenti esercizi ti permettono di verificare se hai imparato a:
- riconoscere il participio usato in funzione predicativa;
- analizzare correttamente il contesto sintattico in cui il participio predicativo è inserito.

ESERCIZIO
Riconoscimento

13. **Analizza le seguenti frasi, individuando i participi usati in funzione predicativa e i verbi a cui sono associati, quindi traduci.**

1. Φαίνῃ κακὸς ὤν **2.** Ὁ βασιλεὺς μανθάνει τὸ τῶν πολεμίων στρατόπεδον πλησίον ὄν. **3.** Οἱ βάρβαροι ἀνόρειοι μαχομενοι ἐφαίνοντο, ἀλλ᾽οἱ Ἀθηναῖοι τὴν αὐτῶν πόλιν ἐλάμβανον **4.** Εὔλαλος ὢν ὁ παῖς οὐ παυεται λέγων. **5.** Ἔαρος ὄντος, οἱ ὄρνιθες ᾄδοντες διατελοῦσιν **6.** Ἥκοντες εἰς τὴν ἀγορὰν τοὺς φίλους σχολάζοντας ὁρῶμεν. **7.** Ὁ λεγων φαίνεται πολλα ἁμαρτάνων. **8.** Ὁ ἀστρολόγος ἐπὶ τὸν οὐρανὸν βλέπων εἰς φρέαρ λανθάνει πίπτων. **9.** Τοὺς στρατιώτας ανδρείως μαχομένους ἡ πόλις χαίρει.

ESERCIZIO
Costruzione con il participio predicativo

14. **Completa le seguenti frasi, inserendo il participio del verbo indicato, quindi traduci.**

1. Οἱ στρατιῶται ἤρχοντο εις τὴν πόλιν ταχέως _____ (τρέχω). **2.** Ἄχθομαι τοὺς φίλους _____ (ψευδομαι). **3.** Οἱ ἄγγελοι κηρύσσουσι τὸν βασιλέα _____ (προσελαύνω). **4.** Ἀποδεικνύναι βούλομαι τοὺς ῥήτορας _____ (ἁμαρτάνω). **5.** Ἐν τῇ μάχῃ τὰ δόρατα πολλὰ _____ (οἴχομαι) ἐφαίνοντο. **6.** Λύκος ἤκουε παιδὸς _____ (κλαίω). **7.** Οὗτοι ἡμᾶς _____ (φυλασσω) δῆλοί εἰσιν. **8.** Ὁ κλέπτης εἰς τὴν οἰκίαν ἐλάνθανε _____ (εἰσέρχομαι).

DDI
Lettura espressiva delle versioni

TRADUCI

In questa sezione di esercizi si usano vocaboli tratti dal Lessico frequente, dal Lessico tematico e altri vocaboli che troverai registrati sul vocabolario.

ESERCIZIO
Participio predicativo

15. **Analizza e traduci le seguenti frasi. I participi predicativi sono evidenziati.**

1. Ἐλανθάνομεν τὴν πατρίδα **βλάπτοντες**. **2.** Ὁ Γισσαφέρνης ἀγγέλλει τῷ Ἀρταξέρξῃ τὸν Κῦρον **ἐπιστρατεύοντα** **3.** Οι στρατιῶται ἑωρων τοὺς Καρδούχους πολλοὺς **συλλεγομένους** ἐν τοῖς ὄπλοις. **4.** Οἱ φιλόσοφοι περὶ τῆς παρρησίας **λέγοντες** οὐκ ἐπαύοντο **5.** Τὴν χεῖρα αἴρων ὁ ῥήτωρ **δημηγορῶν** ἄρχεται **6.** Φανεροι πᾶσι ἦμεν οὐκ ἰδιᾳ **πολεμοῦντες**, ἀλλὰ ὑπὲρ τῆς κοινῆς ελευθερίας **προκινδυνεύοντες**. **7.** Τῶν φυλάκων κοιμώντων ὁ αἰχμαλωτος λανθάνει **ἀποδιδράσκων** καὶ σῴζεται. **8.** Ἐπίστασθε τὰς μὲν ἄλλας ἀδικιας μερος τοῦ βίου **βλαπτούσας**, τὴν δὲ ὕβριν ὅλοις τοῖς πράγμασι **λυμαινομένην** **9.** Ἀγησίλαος ἔχαιρε τους μὲν αἰσχροκερδεῖς πένητας **ὁρῶν**, τοὺς δὲ δικαίους πλουσίους **ποιῶν**, βουλόμενος τὴν δικαιοσύνην κερδαλέαν καθιστάναι. **10.** Οἱ Κρῆτες διετέλουν **χρώμενοι** τοῖς τῶν πολεμίων τοξεύμασι καὶ ἐμελέτων τοξεύειν. **11.** Ὁ Γύλιππος, τῶν Ἀθηναίων τῇ ναυμαχίᾳ την γνώμην προσεχόντων, φθάνει **προσπίπτων** ἅμα τῇ ἕῳ αἰφνιδίως τοῖς τείχεσι **12.** Ῥέα παραγίνεται μὲν εἰς Κρήτην, ὀπηνίκα τὸν Δία **ἐγκυμονοῦσα** ἐτύγχανε, γεννᾷ δὲ ἐν ἄντρῳ τῆς Δίκτης Δία.

ESERCIZIO
Participio predicativo

16. **Analizza e traduci le seguenti frasi.**

1. Πυνθανομένη τὴν μητέρα τελευτῶσαν ἡ τάλαινα παρθένος ἤρχετο κλαίουσα. **2.** Ἥδομαι, ὦ Ἀλέξανδρε, ἀκούων φρονίμους σου λόγους. **3.** Τῇ ὑστεραίᾳ ἡμέρᾳ ὁ Κλέαρχος ἐν τῷ στρατοπέδῳ ὢν ἐτυγχανε ὅτε οἱ κήρυκες ἀφικνοῦντο τὴν τῶν Περσῶν νικην ἀγγέλλοντες. **4.** Τοῖς μὲν Πέρσαις φαίνεται ἡ βασιλεια ἀγαθὴ πολιτεία οὖσα, τοῖς δὲ Ἕλλησιν οὔ. **5.** Οἱ στρατιῶται ορῶντες τὸν στρατηγὸν πιπτοντα ἐν τοῖς πολεμίοις εἰς φυγὴν ἐτρέποντο. **6.** Οἱ Ἀθηναῖοι φανεροί εἰσι τον Περικλέα στρατηγὸν πάλιν αἱρεῖν. **7.** Ὁ Διογένης ὁ Κύων καλούμενος ἀπεδείκνυε τοὺς ἀνθρώπους τοὺς φροντίζοντας τὸν κόσμον μωραίνοντας. **8.** Κλέαρχος ἐπιβουλεύων φανερὸς ἐγίγνετο Τισσαφέρνει τε καὶ Ὀρόντᾳ, καὶ πᾶσιν ἡμῖν τοῖς σὺν τούτοις. **9.** Ἀστυάγου ἀσθενοῦντος, οὐδέποτε ὁ Κῦρος ἀπέλειπε τον παππον, οὐδὲ κλαιων ποτὲ ἐπαύετο. **10.** Ἀναβαίνοντες ἐλάνθανον οἱ Πέρσαι τὸ ὄρος και ταχέως τοὺς πολεμιους προσεβαλλον. **11.** Ἡ πόλις ημῶν διατελεῖ τοὺς μὲν κακοὺς κολάζουσα, τοῖς δὲ δικαίοις βοηθοῦσα, την δὲ ισότητα ἀντι τῆς δεσποτείας ἅπασιν ἀπονέμουσα, τοῖς δὲ ἰδίοις κινδύνοις καὶ δαπάναις κοινὴν ἄδειαν τοῖς Ἕλλησι παρασκευάζουσα.

VERSIONE
Difficoltà

129 Grandi uomini, piccoli bambini

Diversi sono gli aneddoti riguardanti i giochi che grandi personaggi del mito o della storia svolgevano con i propri figli o con altri bambini.

Τὸν Ἡρακλῆ λέγουσι τὰς ἐν τοῖς ἄθλοις σπουδας διαναπαύειν ταῖς παιδιαῖς. Ἔπαιζε δὲ ἄρα ὁ Διὸς καὶ Ἀλκμήνης μετὰ παιδίων πάνυ σφόδρα. Τοῦτό τοι καὶ ὁ Εὐριπίδης ὑπαινίττεται, ὅτε ποιεῖ τὸν θεὸν λέγοντα· «Παίζω· μεταβολὰς γὰρ πόνων ἀεὶ φιλῶ». Λέγει δὲ τοῦτο παιδίον κατέχων. Καὶ Σωκράτης δὲ κατελαμβάνετο ποτὲ ὑπὸ Ἀλκιβιάδου παίζων μετὰ Λαμπροκλέους ἔτι νηπίου. Ἀγησίλαος δὲ ἵππευε μετὰ τοῦ υἱοῦ παιδὸς ὄντος, καὶ πρὸς τὸν γελῶντα ἔλεγε· «Νῦν μὲν σιώπα, ὅταν δὲ γένῃ ("diventerai") πατήρ, τότε ἐξαγορεύσεις ("parlerai")». Ἀλλὰ καὶ Ἀρχύτας ὁ Ταραντῖνος, πολιτικός τε καὶ φιλόσοφος ἀνήρ, πολλοὺς ἔχων οἰκέτας, τοῖς αὐτῶν παιδίοις πάνυ σφόδρα ἐτέρπετο μετὰ τῶν οἰκοτρίβων παίζων· μάλιστα δὲ ἐφίλει τέρπεσθαι αὐτοῖς ἐν τοῖς συμποσίοις.

LAVORIAMO SULLE COMPETENZE

Competenze linguistiche

a. Individua e analizza tutti i participi presenti nel brano, distinguendone la tipologia.

b. Διός (r. 2): dopo aver analizzato questo termine, chiariscine la funzione in relazione all'articolo che lo precede.

c. ὄντος (r. 6): quale funzione sintattica ha questo participio?

d. σιώπα (r. 6): analizza questa voce verbale.

Competenze lessicali

e. Individua tutti i termini che hanno a che fare con la sfera del gioco.

f. Che cosa sottintende il pronome Τοῦτο (r. 2)? Come potresti renderlo in una traduzione italiana volendo evitare traduzioni generiche come "ciò" o "questo"?

Comprensione

g. Quali aneddoti sono riferiti a Socrate e ad Agesilao?

TRADUCI SENZA VOCABOLARIO

Leggi con attenzione il brano e tenta di comprenderne il significato generale senza l'aiuto del vocabolario. Aiutati con le note esplicative in cui sono mostrate parole derivate da quelle presenti nel testo (< o >), sinonimi (=), contrari (≠), termini di significato simile (≃). Infine, rispondi alle domande di comprensione.

VERSIONE

Difficoltà

130 Diventare re degli animali

Zeus annuncia al leone di volergli affidare il ruolo di re degli animali, ma quest'ultimo non si dimostra propriamente all'altezza del compito.

Ζεύς ποτε θαυμάζων τὴν ῥώμην[1] καὶ τὴν σεμνότητα[2] τοῦ λέοντος, τὸν λέοντα μεταπέμπεται εἰς τὸν Ὄλυμπον βουλόμενος διδόναι αὐτῷ τὴν τῶν ἀλόγων[3] ζῴων βασιλείαν. Ὁ δὲ λεων ἀκούων παρὰ τοῦ Διὸς τὴν βασιλικὴν δύναμιν ἔχειν, περιχαρὴς[4] γιγνεται καὶ βλέπει τὸν τοῦ Διὸς ἀετὸν[5] καὶ οὐ κατέχεται[6], ἀλλὰ ὁδάξ[7] λαμβάνει καὶ ἕτερον πτερὸν[8] θραύει[9]· τὸν δὲ ταὼν[10] τῆς Ἥρας θοινάζεται[11], τὸν δὲ τῆς Ἀρτέμιδος ἔλαφον[12] τιτρώσκει[13] καὶ τὸν τοῦ Ἑρμοῦ κριὸν[14] δάκνει. Ὁ δὲ Ζεὺς ὀργιζόμενος κεραυνὸν ἐμβάλλει καὶ κατακτείνει τὸ κακὸν καὶ ἀχάριστον ζῷον.

1. ῥώμη = δύναμις.
2. σεμνότης = βασιλικὸν εἶδος
3. ἄλογος = ἀ + λογος
4. περιχαρης = μάλα χαιρεται
5. αετος = βασιλικος ὄρνις
6. κατέχομαι = μένω, ακινητός εἰμι
7. ὀδάξ (avv.) ≃ ὀδοῦσι χρώμενος.
8. πτερον = ὄρνιθες πτερὰ ἔχουσι.
9. θραύω ~ κτείνω
10. ταὼς = lat. *pavo*.
11. θοινάζω ≃ εσθίω.
12. ἔλαφος = lat. *cervus*
13. τιτρώσκω ≃ τραυματίζω
14. κριός = lat. *aries*.

1. Il leone raggiunge Zeus sull'Olimpo. V F
2. Zeus consegna al leone una corona. V F
3. Il leone mangia l'aquila. V F
4. Il cervo è l'animale sacro ad Artemide. V F
5. Pur meravigliandosi del 'audacia del leone, Zeus lo punisce. V F

VERSIONE

Difficoltà

131 La vecchia e il medico

Una vecchietta ipovedente e un medico disonesto sono i protagonisti di questa favola, la cui morale insegna che gli uomini disonesti finiscono per essere traditi dalla loro stessa avidità

Γυνὴ πρεσβῦτις τοὺς ὀφθαλμοὺς νοσοῦσα ἰατρὸν ἐπὶ μισθῷ εισκαλεῖται. Ὁ δὲ εἰσιών, ὁπότε αὐτὴν ἔχρισε, ἐκείνης συμμυούσης διετέλει ὑφαιρούμενος ἕκαστον τῶν σκευῶν. Ἡ μὲν οὖν γραῦς τὴν περιουσίαν ἐωρα καθ' ἑκάστην ἡμέραν ἐλαττουμένην καί, ὅτε ἡ θεραπεία ἐτελεῖτο, η οἰκία κενη παντάπασιν ἦν. Τοτε δε ο αναισχυντος ἰατρὸς ἀπῄτει τὸν μισθὸν και, μὴ βουλομένης τῆς γραὸς ἀποδιδόναι, αὐτὴν ἦγε ἐπὶ τοὺς ἄρχοντας. Ἡ δὲ ἔλεγε τὸν μισθὸν ὑπεσχῆσθαι ("di aver promesso"), εἰν ὁ ἰατρὸς θεραπεύσῃ ("avesse

curato") αὐτῆς τὰς ὁράσεις «Ἀλλ' ἐγω ἔφη οὔπω ὑγιαίνω· πρὸ τῆς νόσου γὰρ ἔβλεπον πάντα τὰ ἐπὶ τῆς οἰκίας σκεύη, νῦν δὲ μετὰ τὴν ἴασιν οὐδὲν ("niente") ὁρᾶν δύναμαι». Οὕτως οἱ πονηροὶ τῶν ἀνθρώπων διὰ πλεονεξίαν λανθάνουσι καθ' ἑαυτῶν ("contro se stessi") τὸν ἔλεγχον ἐπισπώμενοι.

da Esopo

LAVORIAMO SULLE **COMPETENZE**

Competenze linguistiche

a. Individua e analizza tutti i participi femminili presenti nel brano

b. τοὺς ὀφθαλμούς (r. 1)· che valore sintattico ha questo accusativo? Controlla la costruzione di νοσέω sul vocabolario.

c. τῶν σκευῶν (r. 2). quale funzione svolge questo genitivo? Ce ne sono altri analoghi in questa versione?

Competenze lessicali

d. Molti termini greci che riguardano il campo semantico del corpo, della malattia e della medicina sono stati ripresi nel lessico medico italiano odierno. Individua almeno tre parole presenti nel testo afferenti a tali sfere di significato e individua i loro derivati italiani.

Comprensione

e. In cosa consiste l'inganno del medico?

VERSIONE

Difficoltà

132 Le punizioni di Dioniso

Dioniso era il dio del vino, la bevanda che infetta un po' di pazzia nell'uomo. Il modo in cui il dio puniva gli empi, infatti, rispecchiava la specificità di questa bevanda.

Ὁ θεὸς Διόνυσος εὑρετὴς τῆς ἀμπέλου ἦν. Λέγουσι δὲ οἱ μυθολόγοι ὡς τοὺς εἰς αὐτὸν ἀσεβοῦντας ἐκόλαζε μανίαν ἐμβάλλων. Πολλοι δὲ ἦσαν οἱ ἀσεβεῖς καὶ διὰ τοῦτο εἰωθει ο Διόνυσος, θνητῷ εἰκαζόμενος, ἐπὶ γῆς φαίνεσθαι· οὗτος ἐλάνθανε θεὸς ὤν. Βουλόμενος δέ ποτε εἰς νῆσον ἐν τῇ Ἐρυθρᾷ θαλάσσῃ διακομίζειν, ἐπὶ τῷ πλῷ τριήρη μισθοῖ αλλ'οὐκ αἰσθανεται τὴν ναῦν λεστρικὴν οὖσαν. Ἐπιβουλεύοντες τοίνυν αυτῷ οι ναῦται ἔμελλον εἰς τὴν Ἀσιαν πλεῖν, ἵνα αὐτὸν πωλοῖεν ἐπὶ δουλείᾳ. Ὁ δὲ θαυμασίῳ τρόπῳ δικην παρ' αὐτῶν λαμβανει. Τὸν γὰρ ἱστὸν τῆς νεώς καὶ τὰς κώπας ποιεῖ ὄφεις· οἱ δὲ ναῦται, μαινόμενοι καὶ εἰς τὴν θάλασσαν ἐκπηδῶντες, ἐγίγνοντο δελφῖνες.

PAROLE IN PRIMO PIANO

Il sostantivo αἰδώς

Il sostantivo αἰδως, generalmente tradotto con "pudore", "vergogna", ha in greco un significato molto più pregnante di quello dei traducenti italiani. Indica, infatti, un concetto fondamentale per l'etica greca: si tratta del rispetto e del riguardo che occorre avere nei confronti di un dio o di un superiore, ma anche nei confronti dei propri pari; ciò, per un eroe, costituisce un valido deterrente alla viltà e alla vigliaccheria.

VERSIONE

Difficoltà

133 Il luogo in cui fu rapita Persefone

Quando fu rapita da Plutone, Persefone si trovava in un ameno luogo vicino alla città di Enna, dove la dea amava trascorrere le sue giornate

Πλούτων, Περσεφόνης ἔρωτι κατεχόμενος, Διὸς **συνεργοῦντος**, Δήμητρα ἐλάνθανε τὴν παρθένον ἁρπάζων. Γίγνεται δὲ ἡ ἁρπαγὴ ἐν τοῖς λειμῶσι τοῖς κατὰ τὴν Ἔνναν. Ἔστι δ' ὁ τόπος οὗτος πλησίον μὲν τῆς πόλεως, ἴοις δὲ καὶ τοῖς ἄλλοις ἄνθεσι παντοδαποῖς ἐκπρεπὴς καὶ τῆς θεᾶς ἄξιος. Διὸ δὲ τὴν ἀπὸ τῶν φυομένων ἀνθῶν εὐωδίαν λέγεται τοὺς **κυνηγοῦντας** κύνας μὴ δύνασθαι στιβεύειν. **ἐμποδιζομένους** τὴν φυσικὴν αἴσθησιν. Ἔστι δὲ ὁ λειμὼν οὗτος ὁμαλὸς καὶ παντελῶς **εὔυδρος**, πανταχόθεν κρημνοῖς ἀπότομος ὢν. Δοκεῖ δ' ἐν μέσῳ εἶναι τῆς ὅλης νήσου, διὸ καὶ Σικελίας ὀμφαλὸς προσαγορεύεται. Ἔχει δὲ πλησίον καὶ ἄλση καὶ ἕλη καὶ σπήλαιον εὐμεγεθες, ἔχον **χάσμα κατάγειον** διὰ τοῦ χάσματος τούτου μυθολογοῦσι ὅτι ὁ Πλούτων μεθ' ἅρματος ἐπερχόμενος ἐποίει τὴν ἁρπαγὴν τῆς Κόρης. Λέγουσι καὶ ὅτι ἐκεῖ τὰ ἄνθη παραδόξως δι' ὅλου τοῦ ἐνιαυτοῦ διατελοῦσι θάλλοντα.

da Diodoro Siculo

LE PAROLE E IL LORO CONTESTO

Nella tabella sottostante trovi le parole evidenziate nel testo precedente. Ponendole in rapporto con il contesto, completa la tabella scrivendo il traducente adatto o motiva quello proposto.

Vocabolo greco	Traducente	Contesto semantico
συνεργοῦντος		Nel greco è frequente l'uso dei participi, mentre in italiano essi sono piuttosto limitati. Per non appesantire troppo la traduzione prova a rendere questo participio con un complemento.
κυνηγοῦντας	"cacciatori"	
ἐμποδιζομένους		Composto dal preverbo ἐν e dal sostantivo ποῦς, il verbo indica propriamente qualcosa che si "mette fra i piedi", ma, come in questo caso, è spesso impiegato in maniera traslata
εὔυδρος	"abbondante d'acqua"	
χάσμα		Il sostantivo deriva dal verbo χαίνω, "aprirsi", "spalancarsi".
κατάγειον	"sotterranea"	

VERIFICA DI FINE UNITÀ

ESERCIZIO
Sostantivi irregolari della terza declinazione

1. Declina i seguenti sostantivi.

Ἄρης • ἦπαρ • δένδρον • Ζεύς • γόνυ • ὄρνις • ὕδωρ • Ἰησοῦς • ἀρήν • δόρυ

ESERCIZIO
Aggettivi irregolari della seconda classe

2. Concorda gli aggettivi fra parentesi con i rispettivi sostantivi.

1. ἄνθρωποι (πραῦς)
2. ὕλην (μέγας)
3. γυναιξίν (πολύς)
4. βασιλέα (μέγας)
5. λέουσι (πραῦς)
6. πολεμίους (πολύς)
7. δένδρου (μέγας)
8. κέρασι (πολύς)
9. τύραννοι (πραῦς)
10. οἰκία (μέγας)

ESERCIZIO
Participio predicativo

3. Completa la traduzione delle seguenti frasi.

1. Οἱ φιλόσοφοι λέγουσι τὴν ψυχὴν ἀθάνατον **φαίνειν οὖσαν**.
   I filosofi dicono che l'anima _____ immortale.
2. Τῆς νυκτὸς ἀφικνουμένης, **ἀναβαίνοντες ἐλάνθανον** οἱ Πέρσαι τὸ ὄρος.
   Al sopraggiungere della notte, i Persiani _____ la montagna.
3. **Ὁρῶμεν** τὴν τύχην καὶ τοῖς δικαίοις καὶ τοῖς ἀδίκοις ἀνθρώποις **βοηθοῦσαν**.
   _____ che la sorte _____ sia gli uomini giusti sia quelli ingiusti.
4. Ἀποδεικνύναι ἔχω **πάντας τοὺς μάρτυρας ψεύδοντας** καὶ **τὸν στρατηγὸν** ἀναίτιον **ὄντα**
   Posso dimostrare _____ e _____ innocente.
5. Νῦν Λακεδαιμόνιοι **φανεροί εἰσιν** οὔτε τῷ θεῷ **πειθόμενοι** οὔτε τοῖς Λυκούργου νόμοις.
   Ora _____ che gli Spartani non _____ né al dio né alle leggi di Licurgo.

ESERCIZIO
Participio predicativo

4. Nelle seguenti frasi, coniuga opportunamente il participio indicato tra parentesi e poi traduci.

1. Ἐκ τούτου τοῦ βιβλίου ὁρᾶτε πολλοὺς ἄλλους τῶν ποιητῶν τὰ αὐτὰ _____ (λέγω). 2. Ἀλκιβιάδης φανερὸς ἦν νικᾶν _____ (πειράομαι). 3. Φονεὺς τοῦ παιδὸς ἐλάνθανε _____ (φεύγω). 4. Ἄρχομαι δὲ ἀπὸ τῆς ἰατρικῆς _____ (λέγω), ἵνα καὶ πρεσβεύωμεν τὴν τέχνην.

Il laboratorio delle competenze

Inquadra il QR code per svolgere ulteriori esercizi per la verifica o il recupero su HUB Test

A Competenze morfosintattiche | B Competenze lessicali | C Problem solving

A Competenze morfosintattiche

COMPETENZE

- Saper riconoscere caso, numero e genere dei sostantivi della terza declinazione con il tema in vocale e dittongo
- Saper riconoscere caso, numero e genere dei sostantivi e degli aggettivi irregolari della terza declinazione e della seconda classe
- Saper declinare correttamente i sostantivi della terza declinazione con il tema in vocale e dittongo
- Saper declinare correttamente i sostantivi e gli aggettivi irregolari della terza declinazione e della seconda classe

1. Svolgi le attività proposte, quindi traduci le frasi.

1. Οἱ τῶν Σπαρτιατῶν βασιλεῖς πρὸ τῆς μάχης τοῖς θεοῖς θύονται.
   Il genitivo singolare del sostantivo βασιλεύς è , il plurale è invece .

2. Οἱ Ἀθηναῖοι, μέλλοντες περὶ τοῦ πρὸς τοὺς Λακεδαιμονίους πολέμου βουλεύεσθαι, τὴν ἐκκλησίαν ἐν τῇ συνέλεγον.
   Completa la frase inserendo nell'apposito spazio la forma richiesta del sostantivo Πνύξ.

3. Πολλάκις τοὺς ἀνθρώπους ἄγουσι γλυκεῖαι ἐλπίδες, αἳ ("che", nom. f. pl.) αὐτίκα ὡς **βραχὺ ὄναρ** ἀφανίζουσιν.
   Declina per intero il sintagma evidenziato. Quale particolarità presenta il sostantivo ὄναρ?

4. Χρὴ τοὺς πατέρας καὶ λόγοις τοὺς παῖδας τὴν ἀρετὴν καὶ τὴν σωφροσύνην διδάσκειν.
   Completa la frase con le opportune forme degli aggettivi πολύς e πραῦς.

5. Ἐν ταῖς τραγῳδίαις Ἑκάβη εἰσάγεται **δάκρυα** χέουσα διὰ τὴν ἀθλίαν μοῖραν τῶν υἱῶν.
   Declina il sostantivo evidenziato, quindi completa la frase con l'opportuna forma dell'aggettivo πᾶς, il cui tema al maschile e al neutro è , al femminile invece .

6. Οἱ Ἀθηναῖοι ἐν Σαλαμῖνι **ταῖς ναυσὶ** τοὺς Πέρσας εἰς φυγὴν ἔτρεπον.
   Declina il sintagma evidenziato, che nella frase svolge la funzione di .

7. Ἡ λίμνη παντοίους ἔχει .
   Completa la frase con la forma del sostantivo ἰχθύς richiesta dal contesto

8. Ὀφθαλμοὺς μὲν ὀλίγους οἱ κροκόδειλοι ἔχουσιν, ὀδόντας δὲ μεγάλας.
   In questa frase è contenuto un errore. Individualo e correggilo

9. Πᾶν μέρος τοῦ **σώος** τοῖς ἀνθρώποις ὠφέλιμόν ἐστιν.
   Declina per intero il sostantivo evidenziato.

10. Ἐν τοῖς Εὐαγγελίοις ἀναγιγνώσκομεν ὅτι Ἰωάννης ὁ βαπτιστὴς τοῦ Θεοῦ καλεῖ τὸν .
    Completa la frase inserendo le forme opportune di ἀρήν e Ἰησοῦς.

COMPETENZE
- Saper riconoscere il participio predicativo
- Saper tradurre il participio predicativo

2. **Analizza e traduci le seguenti frasi, indicando se i participi predicativi sono usati con valore soggettivo (S) o oggettivo (O).**

1. Ὁ Θρασύμαχος φανερὸς ἦν ἐπιθυμῶν λέγειν. [ ]
2. Ὁ μάρτυς ψευδεῖς τοὺς λόγους ποιουμενος φαίνεται. [ ]
3. Ὁ Ζεὺς πολλάκις χαίρει τοὺς μὲν μικροὺς μεγάλους ποιῶν, τοὺς δὲ μεγάλους μικρούς. [ ]
4. Συρίζοντος τοῦ Δάφνιδος, ἡ Χλοη, σκιαζομένη ὑπὸ τοῖς δένδρεσι, λανθάνει καθεύδουσα. [ ]
5. Οἱ συγγραφεῖς δεικνύασι τὸν Σωκράτη μὴ ἀχθόμενον τῇ πενίᾳ. [ ]
6. Ὁ Κίμων τοὺς φίλους εὐεργετῶν ἔφθανε. [ ]

B Competenze lessicali

COMPETENZE
- Saper confrontare il lessico del greco antico con quello dell'italiano
- Riflettere sull'etimologia dei vocaboli italiani

3. **Completa la seguente tabella, indicando l'etimologia e il significato dei vocaboli italiani proposti.**

Vocabolo	Etimologia	Significato
1. policefalo		
2. panteismo		
3. epatoscopia		
4. ermeneutica		
5. onironautica		

COMPETENZE
- Saper confrontare il lessico del greco antico con quello dell'italiano
- Riflettere sull'etimologia dei vocaboli italiani

4. **Completa la seguente tabella, indicando il significato dei vocaboli greci proposti e i sostantivi italiani a essi etimologicamente connessi.**

Vocabolo	Significato	Vocaboli italiani derivati
1. πρᾶξις, -εως, ἡ		
2. ταχυς, -εῖα, -υ		
3. ἰχθῦς, -ὑος, ὁ		
4. βασιλευς, -εως, ο		
5. πᾶς, πᾶσα, πᾶν		

C Problem solving

COMPETENZE
- Comprendere i testi, risolvere i problemi

5. **La versione seguente è stata scomposta in cinque sequenze e tradotta. Rimetti in ordine le sequenze tradotte associando ciascuna di esse alla sequenza del testo greco corrispondente.**

Minosse dichiara guerra agli Ateniesi

A causa della morte del figlio Androgeo, Minosse muove guerra agli Ateniesi.

A. Ἐνταῦθ ὁ μὲν Αιγεὺς υπώπτευε τὴν Ανδρόγεω καὶ παίδων Πάλλαντος φιλίαν· ἐφοβεῖτο γὰρ τὴν Μίνωος βοηθειαν τοῖς υἱοῖς τοῦ Πάλλαντος καὶ τὸ ἀφαιρεῖσθαι τὴν ἀρχήν.

B. Τῶν δὲ Μίνωος υἱῶν Ἀνδρόγεως μέν, διαφέρων ῥωμῃ καὶ ἀνδρείᾳ, εἰς τὰς Ἀθήνας ἦκε, Παναθηναίων συντελουμένων, Αἰγέως βασιλεύοντος.
C. Οὐδενὸς δ᾽ αὐτῷ προσέχοντος, πρὸς Ἀθηναίους πολεμον αἴρεται
D. Βαδίζοντος οὖν τοῦ νεανίου εἰς τὰς Θήβας ἐπὶ θεωρίαν, κελεύει τινὰς ἐγχωρίους περὶ Οινοην τῆς Ἀττικῆς αὐτὸν δόλῳ φονεύειν Μίνως δὲ πυνθάνεται τὴν κατὰ τὸν υἱὸν συμφορὰν καὶ ἦκεν εἰς τὰς Ἀθήνας δίκας αἰτῶν τοῦ Ἀνδρόγεω φόνου.
E. Ἐν δὲ τοῖς ἀγῶσι νικᾷ τοὺς ἀθλητὰς ἅπαντας καὶ συνήθης γίγνεται τοῖς Πάλλαντος παισίν

da Diodoro Siculo

1. Nelle gare vince tutti gli atleti e diventa amico dei figli di Pallante.
2. Poiché però nessuno gli dà ascolto, dichiara guerra agli Ateniesi.
3. Fu allora che Egeo comincio a guardare con sospetto all'amicizia di Androgeo e dei figli di Pallante. temeva infatti l'aiuto di Minosse ai figli di Pallante e la detronizzazione.
4. Dei figli di Minosse Androgeo, che si distingueva per forza e coraggio, giunge ad Atene quando si celebravano le Panatenee, al tempo del re Egeo.
5. Dunque, quando il giovane andò a Tebe per assistere a uno spettacolo, ordina ad alcuni degli abitanti nei pressi di Enoe in Attica di ucciderlo con l'inganno Minosse viene a sapere della morte del figlio e giunge ad Atene per chiedere giustizia per la morte di Androgeo.

A. ____ **B.** ____ **C.** ____ **D.** ____ **E.** ____

COMPETENZE
• Comprendere i testi, risolvere i problemi

6. Il testo della versione è stato scomposto e rimescolato; occorre dunque analizzare e tradurre le singole sequenze, per poi ricollocarle nella giusta successione.

Spostamento di Ciro

Ciro il Giovane, aspirando al trono persiano, si sposta dalla città di Sardi a quella di Celene È qui, infatti, che lo raggiungeranno le truppe alleate con le quali muoverà poi battaglia ad Artaserse, sovrano legittimo.

A. Ἐντεῦθεν ἐξελαυνει εἰς Κελαιναι, τῆς Φρυγίας πόλιν μεγάλην καὶ εὐδαίμονα ἐνταῦθα Κύρῳ τὰ βασίλεια ἦν καὶ παράδεισος μέγας ἀγρίων θηρίων πλήρης.
B. Καὶ ἐνταῦθα ἦκε Κλεαρχος ὁ Λακεδαιμόνιος φυγάς, ἔχων πολλοὺς ὁπλίτας καὶ πελταστὰς Θρᾷκας καὶ τοξότας Κρῆτας.
C. Ἐνταῦθα τὸν Μαίανδρον διαβαίνει καὶ ἐξελαύνει διὰ Φρυγίας εἰς Κολοσσάς, πόλιν εὐδαίμονα καὶ μεγάλην καὶ ἦκε Μένων ὁ Θετταλὸς πολλοὺς ὁπλίτας καὶ πελταστὰς ἔχων.
D. Ἅμα δὲ καὶ Σῶσις ὁ Συρακόσιος ἐτύγχανεν ὤν, καὶ Σοφαίνετος ὁ Ἀρκὰς σὺν πολλοῖς στρατιώταις.
E. Κῦρος ἀπὸ Σάρδεων ἐξελαύνει διὰ τῆς Λυδίας ἐπὶ τὸν Μαίανδρον ποταμόν

Verso l'Esame di Stato

Pisistrato e la tirannide

Pisistrato fu tiranno (τυραννος) di Atene intorno alla metà del VI sec. a.C. Prima di diventare esclusivamente negativo, il termine "tiranno" definiva in maniera neutra chi, all'interno della città, esercitava un potere assoluto. Si tratta di un istituto politico che si spiega con la necessità di risolvere le tensioni economiche e sociali che agitavano le πολεις. Tale schema si applica bene anche a Pisistrato. La sua azione fu volta a mediare il conflitto fra i ceti più abbienti e quelli più popolari. Egli riuscì in un tale intento non a seguito di precise scelte di politica interna, ma intervenendo militarmente in aree periferiche delle Grecia, quali l'Ellesponto e il Chersoneso Tracico, regioni ricche di materie prime. Le ricchezze derivate dalle campagne militari intraprese fecero sì che il governo di Pisistrato fosse in seguito ricordato come un'età felice come si vede dal seguente brano tratto dalla Ἀθηναίων Πολιτεία *("Costituzione degli Ateniesi") del filosofo Aristotele (384-322 a.C.).*

PRIMA PARTE

TRADUZIONE DI UN TESTO DI LINGUA GRECA

Διώκει δ' ὁ Πεισίστρατος **τὰ περὶ τὰς Ἀθήνας** μετρίως καὶ μᾶλλον ("più") πολιτικῶς ἢ ("che") τυραννικῶς. Ἔν τε **γὰρ** τοῖς ἄλλοις φιλανθρωπος ἦν καὶ πρᾶος καὶ τοῖς **ἁμαρτάνουσι** συγγνωμονικός, καὶ δὴ καὶ τοῖς ἀπόροις προεδάνειζε χρήματα πρὸς τὰς ἐργασίας ἵνα οἷοί τε ὦσι διατρεφεσθαι γεωργοῦντες. Τοῦτο δ' ἐποιει **δυοῖν χάριν**, ἵνα **μήτε** ἐν τῇ ἀγορᾷ διατρίβωσιν, ἀλλὰ διασπειρόμενοι κατὰ τὴν χώραν, καὶ ὅπως εὐπορουῦντες τῶν μετρίων καὶ πρὸς τοῖς ἰδιοις ὄντες, μήτ' ἐπιθυμῶσι μήτε σχολάζωσιν ἐπιμελεῖσθαι τῶν κοινῶν. Οὐδὲν δὲ τὸ πλῆθος οὐδ'ἐν τοῖς ἄλλοις παρώχλει κατὰ τὴν αρχὴν, ἀλλ'αἰεὶ παρεσκεύαζεν εἰρήνην καὶ ἐτήρει τὴν ἡσυχίαν. Διὸ καὶ πολλακις ἐθρύλλουν ὡς ἡ Πεισιστράτου τυραννὶς ὁ ἐπὶ Κρόνου βίος εἴη. Συνέβαινεν **γὰρ** ὕστερον διαδεχομένων τῶν υἱῶν γίγνεσθαι τραχεῖαν τὴν ἀρχήν

(da Aristotele)

SECONDA PARTE

QUESTIONARIO

A • Comprensione/Interpretazione

1. Qual è la caratterizzazione morale di Pisistrato offerta nel brano?
2. Che misure adotta Pisistrato verso i piccoli proprietari terrieri?
3. Come viene caratterizzato il governo dei figli di Pisistrato?

B • Analisi linguistica e/o stilistica

4. Individua le proposizioni finali presenti nel testo e analizzale.
5. Nel testo appare per due volte la particella γάρ. Che valore assume?
6. τὰ περι τὰς Ἀθηνας come interpreteresti questa espressione?
7. ἁμαρτανουσι analizza questo termine sia dal punto di vista morfologico sia da quello sintattico.
8. δυοῖν χαριν analizza questa espressione illustrando le caratteristiche morfologiche dei termini che la compongono e precisando la sua funzione sintattica
9. μήτε di quali elementi si compone questo termine? A quale altra parola presente nel testo deve essere collegato?

C • Approfondimenti e riflessioni personali

10. Con l'aiuto di siti internet affidabili e di altri strumenti a tua disposizione, fai una piccola ricerca sulla tirannide in Grecia precisa le caratteristiche di questa particolare forma di governo e l'ambito di diffusione.

Versioni di riepilogo

VERSIONE

Difficoltà

134 Puntare al cielo non basta!

Guardare troppo a lungo il cielo può far dimenticare che cosa si ha davanti ai piedi.

Ἀστρόλογος ἐξιὼν ἑκαστοτε ἑσπερας ἔθος εἶχε τους ἀστέρας ἐπισκοπεῖν. Καὶ δή ποτε περιὼν εἰς το προαστειον καὶ τὸν νοῦν ὅλον ἔχων πρὸς τὸν οὐρανὸν πίπτει εἰς τὸ φρέαρ. Ὀδυρομένου αὐτοῦ καὶ μάλα βοῶντος, γυνὴ παριοῦσα, ἐπεὶ ἀκούει τῶν στεναγμῶν, πρὸς αὐτόν φησι «Ὦ ἄνθρωπε, σὺ τὰ ἐν ουρανῷ βλέπειν πειρώμενος, τὰ ἐπὶ τῆς γῆς οὐχ ὁρᾷς;»
Τούτω τῷ λόγῳ χρῶνται επὶ τῶν ἀνθρώπων παραδόξως ἀλαζονευομένων καὶ τὰ κοινὰ τοῖς ἀνθρώποις ἐπιτελεῖν οὐ δυναμένων.

VERSIONE

Difficoltà

135 La verità su Linceo

Il mitografo Palefato cerca di fornire una spiegazione razionalistica a una serie di figure del mito greco: in questo passo si occupa del mitico argonauta Linceo, dotato, secondo la tradizione, di una vista straordinaria in grado di scrutare anche sotto terra.

Λεγεται ὡς Λυγκεὺς καὶ τα ὑπο γῆν ἑώρα. Τοῦτο δὲ ψευδές ἐστι. Τὸ δὲ ἀληθὲς ἔχει ὧδε. Λυγκεὺς πρῶτος ἦρχετο μεταλλεύειν χαλκὸν καὶ ἄργυρον καὶ τὰ λοιπά· ἐν δὲ τῇ μεταλλείᾳ λύχνους καταφέρων ὑπὸ τὴν γῆν, τοὺς μὲν κατελίμπανεν ἐπὶ τοῦ τόπου, αὐτὸς δὲ θυλάκους ἀνέφερε τοῦ χαλκοῦ καὶ τοῦ σιδήρου. Ἔλεγον οὖν οἱ ἄνθρωποι «Λυγκεὺς καὶ τὰ ὑπὸ γῆν ὁρᾷ καὶ καταδύνων ἀργύριον ἀναφέρει».

da Palefato

VERSIONE

Difficoltà

136 Figli di Zeus

Zeus prende in sposa Era, ma ha diverse relazioni con donne mortali e immortali da cui nascono numerose figure della mitologia greca, alcune delle quali sono qui brevemente ricordate.

Ζεὺς δὲ γαμεῖ μὲν Ἥραν, καὶ τεκνοῖ Ἥβην Εἰλείθυιαν Ἄρην, μίγνυται δὲ πολλαῖς θνηταῖς τε καὶ ἀθανάτοις γυναιξίν· Ἐκ μὲν οὖν Θέμιδος τῆς Οὐρανοῦ γεννᾷ θυγατέρας ὥρας, Εἰρήνην Ευνομίαν Δίκην, μοιρας, Κλωθὼ Λάχεσιν Ἄτροπον, εκ Διώνης δὲ Ἀφροδίτην, ἐξ Εὐρυνομης δὲ τῆς Ὠκεανοῦ χαριτας, Ἀγλαΐην Εὐφροσύνην Θαλειαν, ἐκ δὲ Στυγὸς Περσεφόνην, εκ δὲ Μνημοσύνης μούσας, πρώτην μὲν Καλλιόπην, εἶτα Κλειὼ Μελπομενην Εὐτέρπην Ἐρατὼ Τερψιχορην Οὐρανιαν Θάλειαν Πολυμνίαν. Καλλιόπης μὲν οὖν καὶ Οἰάγρου, κατ' επίκλησιν δὲ Ἀπόλλωνος, Λίνος, ὃν ("che", compl. ogg.) Ἡρακλῆς ἀπέκτεινε, καὶ Ὀρφεὺς ὁ ἀσκῶν κιθαρῳδίαν.

da Apollodoro

VERSIONE **137** Difficoltà

L'asino selvatico e l'asino domestico

"Non è tutto oro quello che luccica" impara l'asino selvatico, osservando il prezzo che deve pagare l'asino domestico per le cure che riceve dal padrone

Ὄνος ἄγριος, θεώμενος ὄνον ἥμερον ἐν εὐηλίῳ τόπῳ νεμόμενον, προσιὼν ἐμακάριζεν αὐτὸν ἐπὶ τῇ εὐεξίᾳ τοῦ σώματος καὶ τῇ τῆς τροφῆς ἀπολαύσει. Ὕστερον δὲ ὁρῶν αὐτὸν ἀχθοφοροῦντα καὶ τὸν ὀνηλάτην ὀπίσω ἑπόμενον καὶ ῥοπάλῳ παίοντα ἔφη «Ἀλλ' ἔγωγε οὐκέτι σε εὐδαιμονίζω· ὁρῶ γὰρ ὅτι οὐκ ἄνευ κακῶν μεγάλων τὴν ἀφθονίαν ἔχεις». Οὕτως οὐκ ἔστι ζηλωτὰ τὰ μετὰ κινδύνων καὶ ταλαιπωριῶν περιγιγνόμενα κέρδη.

da Esopo

LAVORIAMO SULLE COMPETENZE

Competenze linguistiche

a. Individua e analizza tutti i participi presenti nel brano, distinguendone la tipologia.

b. Ὕστερον (r. 2): a quale categoria grammaticale appartiene questo termine? Quale altra funzione può svolgere?

c. μεγάλων (r. 4): quale caratteristica presenta questo aggettivo? Declinalo per intero.

d. ἔστι (r. 5): come mai in questa forma del verbo εἰμί, solitamente enclitico, si trova l'accento tonico sulla prima sillaba?

Competenze lessicali

e. ἔγωγε (r. 3): da che cosa è caratterizzata la forma? Come è opportuno renderla in italiano?

f. οὐκ ἄνευ (r. 4): oltre che in modo letterale, come può essere tradotto in italiano questo sintagma, in cui la preposizione ἄνευ è preceduta dalla negazione οὐκ? Sapresti dire a quale figura retorica corrisponde l'uso della locuzione in analisi?

Comprensione

g. Come si spiega la frase pronunciata dall'asino selvatico?

VERSIONE **138** Difficoltà

Una tartaruga per Eschilo

Fra gli aneddoti legati al il famoso tragediografo Eschilo, ve n'era uno riguardante la sua morte che coinvolge un'aquila, una tartaruga e una strana pietra

Αἰσχύλος ἔνδοξος ποιητὴς καὶ τραγῳδοποιὸς ἦν καὶ αἱ τραγῳδίαι ὑπ' αὐτοῦ γραφόμεναι μάλα ἐφιλοῦντο ἐν ταῖς Ἀθήναις καὶ ἐν τῇ πάσῃ Ἑλλάδι. Ὡς πολλακις συμβαίνει, τῇ δόξῃ μεγάλῃ πολλαὶ φῆμαι ἀκολουθοῦσιν. Καὶ περὶ Αἰσχύλου οἱ Ἀθηναῖοι πολλὰ ἐμυθολόγουν. Λέγεται γαρ τὸν ποιητὴν γέροντα ἤδη ὄντα φαλακρὸς εἶναι τὴν κεφαλήν. Ἐπεὶ δὲ ποτε ἐν ἀγρῷ περιεπάτει, ἐπέτετο ὑπὲρ αὐτοῦ ἀετός, χελώνην ἔχων ἐν ταῖς χερσίν. Καὶ ὁ ἀετὸς, θελων ἐσθιειν τὴν χελώνην, οὐκ εδύνατο διὰ τὸ δέρμα. Ὁρῶν δὲ τὴν κεφαλὴν τοῦ Αἰσχύλου λευκὴν οὖσαν, ἐνομιζε λιθον εἶναι. Καταβάλλει οὖν τὴν χελώνην, βουλόμενος ἐπὶ τῷ λιθῳ ῥηγνύναι το δερμα. Ἡ δὲ χελώνη ἐπιπίπτουσα τῇ κεφαλῇ τοῦ ἀνδρὸς αὐτὸν ἀποκτείνει.

LAVORIAMO SULLE COMPETENZE

Competenze linguistiche

a. Λέγεται (r. 4): qual è il soggetto di questo verbo?

b. γέροντα (r. 4): quale funzione svolge il termine?

c. ὑπὲρ αὐτοῦ (r. 5): quale funzione sintattica svolge questa locuzione?

Competenze lessicali

d. φῆμαι (r. 3): a quale verbo è etimologicamente connesso questo sostantivo?

e. δέρμα (r. 6): qual è il significato base di questo termine? Che cosa indica in questo contesto specifico?

Comprensione

f. Perché l'aquila trattiene la tartaruga? Perché la lascia cadere?

VERSIONE

Difficoltà

139 Semiramide decide di conquistare l'India

L'ambiziosa Semiramide, regina degli Assiri, decide di conquistare l'India, una regione fertile e ricca di risorse di ogni genere.

Ἡ δὲ Σεμίραμις, ἔχουσα **δυνάμεις** μεγάλας καὶ **πολυχρόνιον** εἰρήνην ἄγουσα, ἐφιλοτιμεῖτο πρᾶγμα ποιεῖν λαμπρον κατὰ πολεμον. Πυνθανομένη δὲ τὸ τῶν Ἰνδῶν ἔθνος μέγα εἶναι καὶ πολλήν τε καὶ καλὴν χώραν νέμεσθαι, διενοεῖτο στρατεύειν εἰς τὴν Ἰνδικήν· Τῶν Ἰνδῶν ἐβασίλευε μὲν Σταβροβατης, στρατιωτῶν δ' εἶχεν ἀναρίθμητον πλῆθος· ὑπῆρχον δ' αὐτῷ καὶ ἐλέφαντες πολλοί· Ἡ γὰρ Ἰνδικὴ χώρα **διάφορος** οὖσα τῷ κάλλει καὶ πολλοῖς διαιρουμένη ποταμοῖς ἀρδεύεταί τε πολλαχοῦ καὶ διττοὺς καθ' ἕκαστον ἐνιαυτὸν ἐκφέρει καρπούς· διὸ τῶν πρὸς τὸ ζῆν ἐπιτηδείων ἔχει πλῆθος καὶ **ἄφθονον** ἀπολαυσιν τοῖς ἐγχωρίοις παρεχεται. Λεγεται δὲ μηδέποτε κατ' αὐτην γίγνεσθαι **σιτοδείαν** ἢ φθορὰν καρπῶν διὰ τὴν **εὐκρασίαν** τῶν τόπων. Ἡ χώρα δὲ ἔχει καὶ ἄπιστον πλῆθος τῶν ἐλεφάντων, ὁμοίως δε χρυσόν, ἄργυρον, σίδηρον, χαλκόν· πρὸς δὲ τούτοις λίθων παντοίων καὶ πολυτελῶν ἔστιν ἐν αυτῇ πλῆθος, ἔτι δὲ τῶν ἄλλων ἁπάντων σχεδὸν τῶν πρὸς τρυφὴν καὶ πλοῦτον διατεινόντων.

da Diodoro Siculo

LE **PAROLE** E IL LORO **CONTESTO**

Nella tabella sottostante trovi le parole evidenziate nel testo precedente. Ponendole in rapporto con il contesto, completa la tabella scrivendo il traducente adatto o motiva quello proposto.

Vocabolo greco	Traducente	Contesto semantico
δυνάμεις		Il termine δύναμις ha come significato base quello di "potenza", "forza", ma, soprattutto, quando è volto al plurale, indica come in questo caso cose concrete.
πολυχρόνιον	"duratura"	
διάφορος		L'aggettivo indica qualcuno o qualcosa che "si distingue" dagli altri, ma quest'accezione di base deve essere meglio precisata a seconda dei contesti: traduci tenendo in considerazione che in questo caso si riferisce a un luogo.
ἄφθονον	"generoso"	
σιτοδείαν		Per tradurre il termine, considera che è composto dal sostantivo σῖτος e dal verbo δέομαι.
εὐκρασίαν	"mitezza"	

LA CIVILTÀ

La democrazia ateniese e le sue istituzioni

L'impegno di essere cittadino

LABORATORIO

A. Le parole della democrazia

B. Facciamo pratica

C. Dalle parole ai testi

▲ Scena di vita in una *agorà* dell'antica Grecia, illustrazione del XIX secolo

DDI

Guarda il video "Essere cittadini nell'antica Grecia"

LA CIVILTA'

La democrazia ateniese e le sue istituzioni

La democrazia, la forma politica in cui il potere (**κράτος**) risiede nelle mani del popolo (**δῆμος**), nacque ad Atene alla fine del VI secolo a.C. in seguito alle riforme del politico **Clistene**. Le istituzioni democratiche dominarono Atene per tutto il V e parte del IV secolo a.C., basandosi su due principi cardine: l'**uguaglianza di diritti e doveri** di fronte alla legge (**ἰσονομία**) e la **libertà di parola** (**ἰσηγορία**).

Potevano partecipare all'Assemblea generale (**ἐκκλησία**) con poteri legislativi tutti coloro che godevano della cittadinanza (**πολῖται**), cioè i figli maschi di padre ateniese (dal 451 a.C. fu sancito che entrambi i genitori dovessero avere la cittadinanza) che avessero compiuto 18 anni e avessero prestato almeno due anni di servizio nell'esercito (**ἐφηβεία**). Erano infatti esclusi dai diritti di cittadinanza, oltre alle donne, gli stranieri residenti (i "meteci", **μέτοικοι** da μετά + οἶκος), essenziali

per l'economia della **πόλις** perché dediti principalmente ad attività commerciali e artigianali, e gli schiavi (**δοῦλοι**).

L'impegno di essere cittadino

La frequenza alle riunioni pubbliche era, in realtà, piuttosto limitata, perché queste duravano l'intera giornata e, nel IV secolo a.C., erano indette almeno quattro volte al mese. Per molti cittadini quindi, e soprattutto per i contadini impegnati nella cura dei campi, si trattava di una incombenza onerosa.
Il diritto-dovere di riunirsi e di esercitare la giustizia richiedeva inoltre ai cittadini ateniesi di impegnare il loro tempo svolgendo attività politica anche presso altri organismi quali l'*Eliea*, il tribunale popolare, e la **βουλή**, il **Consiglio dei Cinquecento**, che formulava le proposte di legge (**νόμοι**) da sottoporre a votazione nell'Ecclesia.

I cittadini deputati a operare in tali organismi erano scelti per sorteggio (**κληρόω**) in liste di volontari, anche in questo caso, però, i candidati non erano numerosi perché bisognava passare un anno intero al servizio dello Stato, trascurando i propri affari privati.
Proprio per favorire una maggiore affluenza all'assemblea popolare venne istituito il **μισθὸς ἐκκλησιαστικός**, una indennità pecuniaria che risarciva i cittadini, in particolare i braccianti salariati, della perdita della giornata di lavoro e della relativa paga.
Nonostante ciò, il numero dei partecipanti all'assemblea restava ridotto e la presenza di 6000 uomini, su un totale di circa 40000 cittadini aventi diritto al voto, era sufficiente perché le decisioni avessero valore legale. Era, infatti, difficile che il numero di partecipanti fosse più elevato.

Pericle loda la democrazia

Siamo agli inizi della guerra del Peloponneso, il drammatico conflitto che vide contrapporsi Ateniesi e Spartani fra il 431 e il 404 a.C. A commemorare i caduti del primo anno di guerra è chiamato Pericle, il leader politico di maggiore prestigio e carisma di quell'epoca. Ecco alcuni passaggi del discorso di Pericle, così come ci sono stati riferiti da Tucidide, storiografo ateniese del V secolo a.C.

37. «Abbiamo una **costituzione** che non imita le **leggi** dei popoli confinanti, dal momento che, anzi, siamo noi a essere d'esempio per qualcuno, più che imitare gli altri. E di nome, per il fatto che non **si governa** nell'interesse di pochi ma della **maggioranza**, è chiamata **democrazia** [ ] [2] Inoltre liberamente **viviamo come cittadini** nei rapporti con la **comunità** [...]. [3] [...] Non commettiamo illegalità nelle **faccende pubbliche** prestando obbedienza a coloro che di volta in volta sono al potere e alle leggi e soprattutto a quante sono in vigore per portare aiuto contro le ingiustizie e a quante, pur non essendo scritte, comportano per chi le violi una vergogna riconosciuta a tutti. [...]»

(*Stone*, libro II)



▶ Busto di Pericle, copia romana di un originale greco del V secolo a.C.

LABORATORIO

A Le parole della democrazia

βουλεύω, -ομαι

1. Attivo

→ **discutere, deliberare, decidere qualcosa** (con l'accusativo o l'infinito) o **su qualcosa** (περί + genitivo)

Οἱ Ἀθηναῖοι τὴν φύξιν ἐβούλευον.
Gli Ateniesi decidevano la fuga.
Οἱ Ἀθηναῖοι περὶ τῆς φύξεως ἐβούλευον.
Gli Ateniesi discutevano sulla fuga.

2. Medio

→ **progettare** (+ accusativo)

Οἱ Ἀθηναῖοι τὴν φύξιν ἐβουλεύοντο.
Gli Ateniesi progettavano la fuga.

› **consultarsi, deliberare su, in merito a** (con περί / ὑπέρ + genitivo o περί / πρός + accusativo)

Οἱ Ἀθηναῖοι περὶ τῆς φύξεως ἐβουλεύοντο.
Gli Ateniesi si consultavano sulla fuga.

→ **risolversi a** (+ infinito)

Οἱ Ἀθηναῖοι φεύγειν ἐβουλεύοντο.
Gli Ateniesi si risolvevano a fuggire.

δῆμος, -ου, ὁ

Il sostantivo viene per lo più utilizzato nelle seguenti accezioni.

› **paese, regione, contrada, distretto territoriale**

Λυκίης ἐν πίονι δήμῳ.
Nella fertile regione della Licia.

→ **moltitudine, popolo, liberi cittadini**

Ὁ τῶν Ἀθηναίων δῆμος κύριος τῆς πολιτείας ἐγίγνετο.
Il popolo ateniese era padrone dello Stato (istituzioni).

→ **Stato democratico, democrazia, assemblea del popolo in uno Stato democratico**

Ὁ τύραννος τὸν δῆμον κατέλυεν.
Il tiranno rovesciava la democrazia.

FRASEOLOGIA

- Δοκεῖ τῇ βουλῇ καὶ τῷ δήμῳ = Sembra bene al Consiglio e al popolo (assemblea popolare) = il Consiglio e l'assemblea popolare decidono
- Δῆμον καθιστᾶναι = Istituire la democrazia.
- Δῆμον καταπαύειν, καταλύειν = Rovesciare la democrazia.

ἴσος, -η, -ον

L'aggettivo, che entra in una miriade di composti, ha tre significati fondamentali. In senso generale, infatti, può valere:

→ **uguale** (generalmente regge il dativo della persona o della cosa), da qui le espressioni avverbiali ἴσον, ἴσα, ἀπὸ τῆς ἴσης, ἐξ ἴσου, "alla pari", "in condizioni di parità" (+ dat. per indicare la persona o la cosa con cui si è alla pari: ἐξ ἴσου ἡμῖν, "alla pari con noi")

→ **equo, adeguato, giusto** (spesso sostantivato: τὰ ἴσα = "il giusto, ciò che spetta")

Con accezione più strettamente politica esprime invece il concetto di:

→ **fornito di uguali diritti, fondato sull'uguaglianza** (di persone o istituti giuridici, spesso sostantivato)

Κῦμα περίσταται ὄρει ἴσον
Si leva un'onda uguale a un monte.
Οἱ θεοὶ τὰ ἴσα νέμουσιν
Gli dèi attribuiscono ciò che spetta.
Οἱ ὀλίγοι οὐχ ὁμολογοῦσι τοὺς πολίτας πάντας ἴσους εἶναι
Gli oligarchici non ammettono che i cittadini siano tutti uguali (abbiano tutti uguali diritti).

FRASEOLOGIA

- Ἐπὶ τοῖς ἴσοις εἶναι = essere fondato sull'uguaglianza dei diritti politici (di regime, costituzione ecc.)
- Τῶν ἴσων μετεῖναι = godere, partecipare di uguali diritti.
- Τῶν ἴσων μετέχειν + dat. della persona = godere, partecipare degli stessi diritti di.
- Τὰ ἴσα = i diritti (ἐκ ποίων ἴσων = "in base a quali diritti").
  Spesso ἴσος è rafforzato in una sorta di endiadi da ὁμοῖος: in tal caso potrai tradurre "uguale sotto tutti gli aspetti" o "uguale ed omogeneo".
- Ἐξ ἴσων καὶ ὁμοίων εἶναι = consistere, essere formato di uomini uguali sotto tutti gli aspetti / uguali ed omogenei.

κοινός, -ή, -όν

L'aggettivo κοινός, ad alta frequenza, ha un'area semantica che si articola intorno a tre idee cardine, correlate tra loro. Il suo significato, quindi, può essere:

→ **comune**, è l'accezione primaria, riferita tanto a ciò che è **di possesso comune**, quanto a ciò che è **usuale**, di **impiego comune** (può reggere il dativo: "comune a, usuale per");

Οἱ τῆς κώμης οἰκηταὶ πᾶσιν κοινὸν ἐνόμιζον τὸ φρέαρ.
Gli abitanti del villaggio ritenevano comune (proprietà comune) a tutti il pozzo.

→ **pubblico, d'interesse pubblico o collettivo**, in ambito politico e sociale si può trovare sostantivato per indicare al singolare (τὸ κοινόν) "**lo Stato**", "**la comunità**" (in casi di associazioni etniche o alleanze temporanee: "la confederazione") e al plurale (τὰ κοινά) "**la politica**";

Ὁ φιλόσοφος κοινοῖς ὀνόμασι χρῆται.
Il filosofo si serve di parole d'uso comune.
Ἐν τῷ ἱερῷ τὰ κοινὰ χρήματα ἐφρουρεῖτο.
Nel tempio era custodito il denaro pubblico.

▶ ALTRE PAROLE DA RICORDARE

βουλή, -ῆς, ἡ = Consiglio dei Cinquecento (a proposito di Roma "senato"); deliberazione, discussione, proposito
δημαγωγέω = guidare il popolo
δημόσιος, -α, -ον = pubblico, dello Stato (in opposizione a οἰκεῖος)
ἐκκλησία, -ας, ἡ = assemblea
ἐκκλησιάζω = discutere, deliberare in assemblea (con l'acc. o περί / ὑπέρ + genit.)
ἐφηβ(ε)ία, -ας, ἡ = adolescenza, servizio militare obbligatorio
ἔφηβος, -ου, ὁ = giovane, efebo
ἐξ ἐφήβων γίγνεσθαι = terminare il servizio da efebo, compiere vent'anni
ἴδιος, -α, ον = proprio, privato (in opposizione a κοινός e a δημόσιος); peculiare, distinto
μισθὸς ἐκκλησιαστικός, ὁ = gettone di presenza all'assemblea
οἰκεῖος, -α, -ον = familiare, parente; personale, privato (in opposizione a πολιτικός)
οἰκέω = abitare, risiedere (intrans.); essere situato (intrans.); amministrare, governare, dominare (trans.)
οἱ ὀλίγοι = gli oligarchi; i fautori dell'oligarchia, gli oligarchici
ὀλιγαρχία, -ας, ἡ = oligarchia, regime oligarchico
οἱ πολλοί, οἱ πλείονες = i più, il popolo, la maggioranza; i democratici
πονηρός, -ά, -όν = povero, malvagio; οἱ πονηροί = i poveri, il popolino, la plebe (in opp. a χρηστός)
χειροτονία, -ας, ἡ = votazione
χρηστός, -ή, -όν = perbene, buono, onesto; οἱ χρηστοί = i galantuomini, i nobili
ψήφισμα, -ατος, τό = decreto
ψήφισμα γράφειν = introdurre un decreto
ψήφισμα καθαιρεῖν, ἀφαιρεῖσθαι, ἐξαλείφειν = abrogare un decreto
ψήφισμα γίγνεται + inf. = si decreta che
ψῆφος, -ου, ἡ = pietruzza (per votare); voto
ψῆφον (δια)φέρειν, (ἀνα)διδόναι, τίθεσθαι περί / ὑπέρ + genit. = votare su
ἐπὶ τὴν ψῆφον τὸν δῆμον καλεῖν = chiamare il popolo al voto

→ **imparziale, equilibrato o affabile, disponibile**. questo valore viene assunto dall'aggettivo quando è riferito per lo più a persone, meno frequentemente a cose, e indica una condizione di equilibrio o di compiacenza verso tutti, anche in tale accezione può reggere il dativo ("imparziale, affabile con").

Ὁ δικαστὴς κοινὸς τῷ διώκοντί τε καὶ τῷ φεύγοντί ἐστιν.
Il giudice è imparziale con l'accusatore e con l'accusato.

FRASEOLOGIA
• Πρὸς τὰ κοινὰ προσέρχεσθαι = dedicarsi alla vita politica

B

Facciamo pratica

ESERCIZIO LE REGGENZE DEI VERBI

1. La costruzione del verbo ψηφίζομαι cambia a seconda del significato che esso assume. Completa la tabella indicando quali reggenze corrispondono a ciascuna accezione.

ψηφίζομαι
- votare ( )
- decretare, decidere
  - qualcosa ( )
  - di ( )
  - che ( )

ESERCIZIO
FRASEOLOGIA

Καὶ τὴν κεφαλὴν μεγαλην ἐχέτω δὴ ὁ λαμπρὸς ἵππος, τὼ δὲ αὐτοῦ ὀφθαλμὼ μεγάλω ἔστω, τὰ δὲ ὦτα μικρὰ καὶ τοὺς ὀδόντας ἐχέτω.

3. Δεῖ τὴν δύναμιν κατασκευάζειν.
Δεῖ τὴν δύναμιν ἐπὶ τὸ στράτευμα κατασκευάζειν.
Δεῖ τὴν δύναμιν ἐπὶ τὸ στράτευμα ἐπιεικῶς κατασκευάζειν.
Δεῖ τὰ τῆς δυνάμεως ἐπιτηδεια ἐπὶ τὸ στράτευμα ἐπιεικῶς κατασκευάζειν.

4. Οἱ αἰχμάλωτοι ἔφευγον.
Οἱ αἰχμάλωτοι ἀπὸ τοῦ στρατοπέδου τῶν πολεμιων ἔφευγον.
Οἱ αἰχμάλωτοι σὺν τοῖς τέκνοις ἀπὸ τοῦ στρατοπέδου τῶν πολεμίων ἔφευγον
Οἱ αἰχμάλωτοι ἐν τῷ καιρῷ σὺν τοῖς τέκνοις ἀπὸ τοῦ στρατοπέδου τῶν πολεμίων ἔφευγον.

5. Ἡ γυνὴ τῶν τριχῶν χαριέντως ἐφάπτεται.
Ἡ γυνὴ τῶν τριχῶν χαριέντως ἐφαπτεται καὶ τὴν κόμην πλάσσει.
Ἡ γυνὴ τῶν τριχῶν χαριέντως ἐφάπτεται καὶ τὴν κόμην πλάσσει ὕστερον τὸ κάτοπτρον λαμβανει.
Ἡ γυνὴ τῶν τριχῶν χαριέντως ἐφαπτεται καὶ τὴν κόμην πλάσσει ὕστερον το κάτοπτρον λαμβάνει καὶ τὸ ἑαυτῆς πρόσωπον ὁρᾷ.

DDI
Lettura espressiva delle versioni

TRADUCI

Per facilitarti nella traduzione, ricorda che in questa sezione di esercizi si utilizzano vocaboli tratti dal Lessico frequente, dal Lessico tematico e altri che troverai sul vocabolario.

ESERCIZIO
Pronomi personali

9. Analizza e traduci le seguenti frasi prestando attenzione alla funzione dei pronomi personali, le cui forme sono evidenziate.

1. Καὶ γὰρ νῦν ὅτε ἄνευ **ἡμῶν** ἐκινδυνεύετε, πολὺν μὲν φοβον **ἡμῖν** παρείχετε. **2.** **Ὑμεῖς** μὲν γλῶσσαν εὔφημον φέρετε, σιγᾶν δὲ δεῖ καὶ λέγειν τὰ καίρια **3.** Καί ἅμα **μοι** δοκοῦσιν ὡς ἐν τῷ θέρει ὑπὲρ κεφαλῆς **ἡμῶν** οἱ τέττιγες ᾄδοντες καὶ ἀλλήλοις διαλεγόμενοι καθορᾶν καὶ **ἡμᾶς**. **4.** Μεγαλύνεις **σὺ** ἐπὶ τῶ πολλὰ χρήματά **σοι** ὑπάρχειν, **ἐμὲ** δὲ οἰκτίρεις ἐπὶ τῇ πενίᾳ· ἀλλὰ κτήματα ἔχω ἀρκοῦντά **μοι** **5.** Ὁ θεὸς ἀεὶ **ἡμᾶς** βλέπει, τὰ νοήματα **ἡμῶν** γιγνώσκει καὶ ἕως **ἡμῖν** ἐστιν. **6.** Πάντες οἱ πολῖται **σοι** ἠγανάκτουν καὶ τῶν βουλευτῶν ἐδέοντο καταγιγνώσκειν **σου** τὴν φυγήν **7.** Ὦ ἄνδρες Ἀθηναῖοι, καιρός ἐστι **ἡμᾶς** στράτευμα κατασκευαζεσθαι, τῆς τῶν Περσῶν δυνάμεως καταφρονοῦντας, ἵνα ὁ μέγας βασιλεὺς τὴν ἐπιεικῆ τιμωριαν τίνῃ τῆς πόλεως **ἡμῶν** ἀναιρέσεως. **8.** Φίλιππός ποτε ἐν σκηνῇ ὅλης τῆς ἡμέρας εκαθευδε, οἱ δὲ στρατιῶται ὀργιζόμενοι ἐπὶ ταῖς θύραις ἐμέμφοντο. Παρμενίων δὲ ἔλεγε «Μὴ θαυμάζετε εἰ Φίλιππος καθεύδει ὅλης τῆς ἡμερας, νυκτὸς γὰρ ὑπὲρ **ὑμῶν** καθευδόντων νυκτερεύει».

ESERCIZIO
Valori di αὐτός

10. Analizza e traduci le seguenti frasi, prestando particolare attenzione al valore del determinativo αὐτός, le cui forme sono evidenziate.

1. Δοκεῖ μέντοι μοι τὰ τῶν ἀνδρῶν σώματα **ταὐτὰ** πάσχειν. **2.** Ψύχους γενομένου ὁ ἄνθρωπος προσφέρων τὰς χεῖρας τῷ στόματι **αὐτοῦ** απέπνει. **3.** Οἱ Λακεδαιμονιοι παλιν εἰς τὸ **αὐτὸ** στρατόπεδον ἰόντες ὁρῶσι δι᾽ ὀλίγου τοὺς ἐναντιους ἐν ταξει. **4.** Γραῦς τοὺς ὀφθαλμοὺς νοσοῦσα ἰατρὸν ἐπὶ μισθῷ παρεκάλει καὶ ὁ ἰατρὸς επετίθει τοῖς ὀφθαλμοῖς **αὐτῆς** τὴν ἰατρειαν. **5.** Ὁ Κλεοβις καὶ ὁ Βιτων, ἀδελφοι πολὺ φιλομήτορες, τῶν βοῶν βραδυνόντων, ὑπέδυον **αὐτοὶ** τῷ ζυγῷ τῆς ἁμάξης ἵνα τὴν μητέρα πρὸς τὸ τῆς Ἥρας ἱερὸν κομίζοιεν. **6.** Πρωταγορας δύναται μὲν μακροὺς λόγους καὶ καλοὺς λέγειν, ὡς **αὐτὰ** τὰ πράγματα δηλοῖ, δύναται δὲ καὶ σιωπᾶν καὶ τῶν ἄλλων ἀκούειν. **7.** Προτρέπετε

τοὺς νεωτέρους ἐπ' ἀρετην μὴ μόνον παραινοῦντες, ἀλλὰ καὶ τὰς τῶν ἀγαθῶν ἀνδρῶν πράξεις **αὐτοῖς** ἀποδεικνύντες. **8.** Ὁρῶ ἀνθρώπους ἐν τοῖς **αὐτοῖς** νόμοις τε καὶ ἤθεσι τρεφομένους πολὺ διαφέροντας ἀλλήλων ("tra loro") τόλμῃ.

ESERCIZIO
Pronomi personali e αὐτός

11. Analizza e traduci le seguenti frasi.

1. Οἱ μὲν ἐν τῇ Ἀττικῇ Πελοποννήσιοι καὶ οἱ ξύμμαχοι ἐτείχιζον, οἱ δ' ἐν τῇ Πελοποννήσῳ ἀπέστελλον περὶ τὸν αὐτὸν χρόνον ταῖς ὁλκάσι τοὺς ὁπλίτας εἰς τὴν Σικελίαν. **2.** Ὦ ἄνδρες, ὡς ("come", con valore escl.) ἡδύ ἐστι ὑμῶν τὰ πρόσωπα θεᾶσθαι. **3.** Οὐ μόνον ὡς ἐχθρῷ αὐτῷ προσήκει ἀλλὰ καὶ ὡς προδότῃ υμῶν τε καὶ ἡμῶν διδόναι τὴν δίκην. **4.** Ἁμαρτανεις τοὺς πολέμους ὠφελιμους εἶναι τῇ πόλει οἰομενος διὰ γὰρ τοὺς πολέμους αὐτοὺς οἱ πολῖται περὶ τοῖς φιλτάτοις κινδυνεύουσιν **5.** Ἅμα τῇ ἡμέρᾳ αὐτὸς ὁ Κῦρος ἄγγελον προῦπεμπε πρὸς τὸν Ἀρμενιον, λέγων αὐτῷ τάδε· «Κῦρος, ὦ Ἀρμένιε, κελεύει σε τὸν δασμὸν καὶ τὸ στράτευμα ἔχοντα ως τάχιστα ἀπέρχεσθαι» **6.** Οὕτως ἀλογίστως ἔχομεν, ὦ ἄνδρες Ἀθηναῖοι, ὥστε περὶ τῶν αὐτῶν πραγμάτων τῆς αὐτῆς ἡμέρας οὐ ταὐτὰ ψηφίζομεν. **7.** Ἡ κύων τοὺς σκυλακας ἔτικτε καὶ αὐτῶν τὰ χείλη περιέλειχεν. **8.** Οἱ τοῦ Λυκούργου νόμοι ἐκέλευον τους Σπαρτιάτας συσσίτια καθ' ἑκάστην ἡμέραν παρασκευάζειν, ἵνα οἱ πλούσιοι καὶ οἱ ἄποροι εἰς τὸ αὐτὸ δεῖπνον ἐπάγοιντο, καὶ πρὸς τὴν αὐτὴν τράπεζαν καθίζοιντο, καὶ τὰ αὐτὰ σιτία ἐσθίοιεν.

VERSIONE
Difficoltà

163 Esordio di un oratore

L'oratore Andocide si difende dalle accuse dei suoi avversari rivolgendosi, come di consueto nel mondo greco, alla giuria che assiste alla sua difesa

Τὴν μὲν παρασκευήν, ὦ ἄνδρες, καὶ τὴν προθυμίαν τῶν ἐχθρῶν τῶν ἐμῶν, ὥστ' ἐμὲ κακῶς ποιεῖν ἐκ παντὸς τρόπου καὶ δικαίως καὶ ἀδίκως, ἐξ ἀρχῆς ἐπειδὴ τάχιστα ἠρχόμην εἰς τὴν πόλιν ταύτην, σχεδὸν ὑμεῖς πάντες ἐπίστασθε, καὶ οὐ δεῖ περὶ τούτων πολλοὺς λόγους ποιεῖσθαι· ἐγὼ δέ, ὦ ἄνδρες, δέομαι ὑμῶν δίκαια. Αἰτοῦμαι οὖν ὑμᾶς, ὦ ἄνδρες, εὔνοιαν πλείω παρέχεσθαι ἐμοὶ τῷ ἀπολογουμένῳ ἢ τοῖς κατηγόροις. Οἱ μὲν γὰρ ἐκ πολλοῦ χρόνου ἐπιβουλεύοντες καὶ συντιθέντες, αὐτοὶ ἄνευ κινδύνων ὄντες, τὴν κατηγορίαν ἐποιοῦντο· ἐγω δὲ μετὰ δέους καὶ κινδύνου καὶ διαβολῆς τῆς μεγίστης τὴν ἀπολογίαν ποιοῦμαι.

da Andocide

LAVORIAMO SULLE **COMPETENZE**

Competenze linguistiche

a. Individua i pronomi personali presenti nel brano.

b. ὥστε (r. 1): che tipo di proposizione introduce?

c. Analizza sintatticamente il primo periodo del brano, precisando il tipo di proposizioni che lo compongono e la loro disposizione.

Competenze lessicali

d. Individua i termini presenti nel brano connessi etimologicamente alla parola δίκη

Comprensione

e. A tuo avviso, per quale motivo, all'inizio di un'orazione, si osserva una certa insistenza sui pronomi personali e sulle invocazioni?

f. Possiamo affermare che Andocide, nell'*incipit* del brano, usa la preterizione? Motiva la tua risposta informandoti, se necessario, sul valore di tale figura retorica.

VERSIONE

Difficoltà

164 Il topo di campagna e il topo di città

Il topo di campagna rimane colpito dal benessere e dall'abbondanza che circondano l'amico cittadino, quando però si rende conto dei pericoli a cui è costantemente esposto, preferisce tornarsene alla sua semplice ma sicura vita nei campi.

Μύες δύο ("due"), ὁ μὲν ἀρουραῖος ὁ δὲ οἰκόσιτος, φίλοι γίγνονται. Ὁ δὲ οἰκόσιτος ἦει πρῶτος εἰς ἀγρὸν ὡς δειπνοῖ παρὰ τῷ ἑταίρῳ. Τρώγων δὲ σῖτον καὶ ῥίζας ἔφη· «Ταλαιπώρου μύρμηκος βίον ζῇς· ἐμοὶ δὲ πολλὰ ἔνεστιν ἀγαθά· μετ' ἐμοῦ ἔρχου, ἵνα ἀσωτεύεσθαι δύνῃ». Ἀπῆγε πεισθὼν τὸν ἀρουραῖον μῦν ἐν τῷ οἴκῳ. Ἐδείκνυ δὲ αὐτῷ σῖτον καὶ ἄλευρα καὶ ὄσπρια καὶ σῦκα καὶ μέλι καὶ φοίνικας. Ἐκεῖνος δὲ ἐτέρπετο καὶ ἠγάλλετο. Ὁ δὲ ἦγε καὶ τυρὸν ἐκ κανισκίου σύρων. Ἐξαιφνίδιος ἀνεῴγετο ἡ θύρα καὶ ἄνθρωπος εἰσῄρχετο· οἱ δὲ μύες ἔφευγον εἰς τὴν αὐτὴν στενὴν τρώγλην. Ὡς δὲ πάλιν ἤμελλον ἐκκύπτειν καὶ μικρὰν ἰσχάδα σύρειν, ἕτερος εἰσῄρχετο ἄνθρωπος· οἱ δὲ ἔνδον ἐκρύπτοντο. Ὁ δὲ ἀρουραῖος μῦς, καίπερ πεινῶν, ἔφη· «Χαῖρε καὶ πλούτει καὶ τρύφα, ἔχων τὰ πάντα μετὰ κινδύνων· ἐγὼ δὲ βοτάνας καὶ ῥίζας τρώγων ἀφόβως καὶ λιτῶς ζῆν βούλομαι». Ὁ μῦθος δηλοῖ ὅτι λιτῶς διάγειν καὶ ζῆν ἀταράχως μᾶλλον συμφέρει ἢ ἐν φόβῳ καὶ κινδύνῳ δαψιλῶς τρυφᾶν.

da Esopo

LAVORIAMO SULLE **COMPETENZE**

Competenze linguistiche

a. ἦει (r. 2): analizza questa forma, quindi indica l'infinito e il participio del verbo a cui è riconducibile.

b. ὡς (r. 2): che tipo di proposizione introduce?

c. Ἐξαιφνίδιος (r. 6) a quale elemento della proposizione si riferisce questo aggettivo?

d. τὴν αὐτὴν (r. 7): che valore assume in questo caso il determinativo αὐτός?

e. καίπερ (r. 9): che valore ha la particella associata al participio? Con quale proposizione può essere tradotto questo sintagma?

Competenze lessicali

f. Individua le parole ascrivibili al campo semantico del cibo presenti nel brano.

g. Analizza la formazione degli aggettivi ἀρουραῖος e οἰκόσιτος (r. 1), indicando i termini cui sono connessi.

Comprensione

h. μετὰ κινδύνων (r. 10): a che cosa si fa riferimento con quest'espressione?

i. Sei d'accordo con la morale della favoletta?

▶ Illustrazione ottocentesca per la favola "Il topo di campagna e il topo di città" di Esopo

2 I pronomi riflessivi e possessivi

Grammatica cap. 19, parr. 2-3 ▶ pp. 132-134

PREPARATI ALLA TRADUZIONE

I seguenti esercizi ti permettono di verificare se hai imparato a:
- riconoscere e declinare i pronomi riflessivi;
- riconoscere e declinare gli aggettivi e i pronomi possessivi;
- distinguere i casi in cui il genitivo del pronome personale e riflessivo viene usato in luogo del possessivo.

ESERCIZIO Riconoscimento riflessivi

12. **Scegli, tra quelle indicate, la forma di pronome corretta, quindi traduci.**

1. Σαυτὸν / Αὐτὸν εὖ ποιει **2.** Τους Πέρσας νικῶντες, οὐ μόνον ἡμᾶς / ἡμῖν αὐτούς, ἀλλὰ καὶ πάντας τοὺς Ἕλληνας εσώζομεν. **3.** Νῦν τοὺς ἄλλους ὁρῶσιν ἐφ' αὐτοὺς αὐτοὺς στρατευομένους. **4.** Ὦ μαθηταί, τῶν γονέων ὑπακούετε καί, αὐτοὺς μιμουμενοι, πειρᾶσθε ὑμαυτοὺς ὑμᾶς βελτίους ποιεῖν **5.** Ἡμεῖς οὐδὲν ἧττον ὑμῖν κατασκευάζομεν τὴν πολιτείαν ἢ ημῖν αὐτοῖς ὑμῖν αὐτοῖς. **6.** Ὁρῶ Ἀλκιβιάδην τὰ πρὸς εαυτὸν σεαυτὸν κάλλιστα πράγματα ζητοῦντα. **7.** Ἔγωγε αὐτὸ τοῦτό φημι εἶναι σωφροσύνην, τὸ γιγνώσκειν σαυτόν ἑαυτόν. **8.** Νομιζω λυσιτελὲς εἶναι ἡμῖν αὐτοῖς ὑμῖν αυτοὶς σπονδὴν ποιεῖσθαι τοῖς Λακεδαιμονίοις.

ESERCIZIO Flessione riflessivi

13. **Completa le seguenti frasi, inserendo il pronome riflessivo richiesto dal contesto, quindi traduci.**

1. Καὶ πῶς δέ, φησὶν ἀλώπηξ, ἄλλους σῴζεις, δὲ χωλὸν ὄντα οὐ θεραπεύεις; **2.** Οἱ ἄνθρωποι τὴν τῶν δυστυχιῶν αἰτίαν προσνέμουσιν. **3.** Ὁ τέττιξ τῆς ἁρμονίας αἰσθανόμενος ἐπετέρπετο. **4.** Ὁ στρατηγὸς ἀποκτείνει, ἵνα μὴ ὑπὸ τῶν πολεμίων λαμβάνηται **5.** Καὶ φθονοῦσιν μᾶλλον ἢ τοῖς ἄλλοις ἀνθρώποις. **6.** Πολλάκις οὐδὲ τὰ ἁμαρτήματα γιγνώσκομεν. **7.** Προσέχωμεν δὴ τὸν νοῦν **8.** Οἱ πλεονέκται, τῶν ἄλλων κλέπτοντες χρήματα, πλουτίζειν ἐθέλουσιν.

ESERCIZIO Riconoscimento possessivi

14. **Scegli la forma corretta tra quelle indicate, quindi traduci.**

1. Διδάσκετε τοὺς παῖδας τοὺς ὑμετερους / ὑμῶν πειθαρχεῖν **2.** Ἡ δ' ἡμῶν ἡμετέρα πόλις ἅπαντα τὸν αἰῶνα τοῖς ἀφικνουμενοις πανήγυρις ἐστιν. **3.** Ἀκούετε, ὦ θεοί, τῶν ἡμετέρων ἡμῶν εὐχῶν. **4.** Αποβλέπετε γαρ εἰς πατέρων τῶν υμετέρους ὑμετερων θήκας. **5.** Ἐπειδή με ερωτᾶτε περὶ τῆς ἐμῆς μου γνωμης, λέγω ὑμῖν, ὅτι οὐχ ὁμολογῶ. **6.** Ἀλλ' οὐκ ἐπείθετο τοῖς ἐμοῖς ἐμὸν λόγοις. **7.** Ἀρέσκομαι τῇ συνουσίᾳ σοῦ σῇ, **8.** Ἡμεῖς δὲ τῆς ἡμετέρας ἡμᾶς ἀρχῆς οὐκ ἀθυμοῦμεν τὴν τελευτήν.

ESERCIZIO Flessione possessivi

15. **Completa le seguenti frasi, inserendo il possessivo indicato tra parentesi, quindi traduci.**

1. Χαλεπὸν μὲν καὶ ἡμεῖς νομίζομεν πρὸς δύναμίν τε τὴν (vostro) καὶ τὴν τύχην αγωνίζεσθαι **2.** Οὕτως δεῖ ὑμᾶς τοῖς (nostro) μάρτυσι πιστεύειν. **3.** Τὰ (tuo) χρήματα ἐν ταῖς παρούσαις

μερίμναις οὐ δύνανταί σοι βοηθεῖν. **4.** Ἑραστής εἰμι _____ (tuo) φιλῶ τέ σε. **5.** Οἱ _____ (nostri) πατερες ἄξιοι ἐπαίνου ἔτι μᾶλλον ἢ οἱ _____ (vostri) εἰσιν. **6.** Παρὰ πάντας τοὺς νόμους ἀδικεῖ μετὰ τῶν οἰκείων τὴν _____ (mio) μητέρα. **7.** Βούλομαι περὶ τῆς _____ (vostro) πολιτείας τὴν _____ (mio) γνώμην ἀποφαίνειν. **8.** Οἱ πολέμιοι ἡμῶν οὐ γιγνώσκουσι τὴν _____ (nostro) συμμαχίαν.

ESERCIZIO
Uso dei possessivi

16. Sostituisci l'aggettivo possessivo presente nelle seguenti frasi con il genitivo del pronome personale o riflessivo corrispondente. Procedi secondo l'esempio.

Es. Ἐγὼ τὸν ἐμὸν (→ **ἐμαυτοῦ**) ἀδελφὸν ἐπαινῶ. **Contesto riflessivo**
Σὺ τὸν ἐμὸν (→ **ἐμοῦ**) ἀδελφὸν ἐπαινεῖς. **Contesto non riflessivo**

1. Τὰ ὑμέτερα (→ _____) δυστυχήματα εὐτυχήματα γίγνονται **2.** Ἡ ἡμετέρα (→ _____) συμμαχία ου δια χειρῶν, ἀλλὰ διὰ φωνῆς συνίσταται **3.** Τὸ ἐμὸν (→ _____) σῶμα και χειμῶνι ἀντιτάσσεται. **4.** Τίμα πᾶν τὸ σὸν (→ _____) γένος ανδρείως μαχόμενος **5.** Τοῖς ἐμοῖς (→ _____) φίλοις εὐθὺς βοηθεῖν βούλομαι. **6.** Δεῖ σε τοῖς ἐμοῖς (→ _____) λόγοις πείθεσθαι **7.** Ὁ βασιλεὺς οὐ βούλεται τοὺς ὑμετέρους (→ _____) πρέσβεις εἰσδέχεσθαι. **8.** Ἀσμένως τὰς σὰς (→ _____) επιστολὰς δέχομαι. **9.** Πάντες διὰ τὴν σὴν (→ _____) προπέτειαν εἰς μεγάλους κινδύνους ἐρχόμεθα. **10.** Μαχόμεθα ἵνα τὴν ἡμετέραν (→ _____) πατρίδα ελευθερῶμεν.

ESERCIZIO
Uso dei possessivi

17. Completa le seguenti frasi con il pronome personale o con il riflessivo al posto del possessivo di 3ª persona, quindi traduci. Procedi seguendo gli esempi.

Es. Ὁ στρατηγὸς τὴν **ἑαυτοῦ** πόλιν φυλάσσει. **Contesto riflessivo**
Il comandante difende la **propria** città.
Ὁ στρατηγὸς τὴν πόλιν καὶ τὴν χώραν **αὐτῆς** φυλάσσει. **Contesto non riflessivo**
Il comandante difende la città e il **suo** (= di essa) territorio.

1. Ὁ ανὴρ τῇ χειρὶ _____ (propria) τὸν τόπον ὑπεδείκνυεν **2.** Ἀρχίδαμος ὁ βασιλεὺς _____ (loro), ἀνὴρ καὶ ξυνετὸς δοκῶν εἶναι καὶ σώφρων, ἔλεγε τοιαδε. **3.** Πολλοὶ διὰ τὴν _____ (propria) ἀβουλίαν δυστυχοῦντες τὴν αἰτίαν επὶ τοὺς θεοὺς ἀναφέρουσιν. **4.** Ὁ Ξενοφῶν τὸν Σωκρατη περὶ τῆς _____ (suo) γνώμης εἴρετο **5.** Ὁ Κῦρος, ὁρῶν τὸν _____ (proprio) πάππον, πολὺ ἐθαύμαζε τὴν _____ (sua) λαμπρότητα. **6.** Οἱ νεανίαι εν τιμῇ τοὺς πρεσβύτας καὶ τὰς συμβουλὰς _____ (loro) ἐτίθεσαν. **7.** Οἱ ναῦται ἐκ τῆς _____ (propria) πείρας μανθάνουσι διαγιγνώσκειν τὰς πνοὰς καὶ τὰς θυέλλας. **8.** Ἡ Δημήτηρ τὴν _____ (propria) θυγατερα, ὑπὸ τοῦ Ἅιδου ἁρπαζομένην, ζητεῖ **9.** Ὁ στρατηγος τοὺς στρατιώτας παρεκάλει καὶ τὴν ἀρετὴν _____ (loro) ἐπῄνει **10.** Ὁ Δωριεὺς φεύγων τὰς _____ (proprie) τριήρεις ἀναβιβάζει.

TRADUCI

Per facilitarti nella traduzione, ricorda che in questa sezione di esercizi si utilizzano vocaboli tratti dal Lessico frequente, dal Lessico tematico e altri che troverai sul vocabolario.

DDI
Lettura espressiva delle version

ESERCIZIO
Pronomi riflessivi

18. **Analizza e traduci le seguenti frasi prestando attenzione alla funzione dei pronomi riflessivi, le cui forme sono evidenziate.**

1. Αἱ ἡδοναὶ πείθουσιν τὴν ψυχὴν μὴ σωφρονεῖν, ἀλλὰ τὴν ταχίστην **ἑαυταῖς** τε καὶ τῷ σώματι χαρίζεσθαι **2.** Καὶ ἕκαστος ἐπιδεικνυτω τοῖς ἀρχομένοις **ἑαυτὸν** ἄξιον ἀρχῆς, ἄφοβον δεικνὺς καὶ σχῆμα καὶ πρόσωπον καὶ λόγους. **3.** Τοὺς **ἐμαυτοῦ** φίλους ὡς **ἐμαυτὸν** στέργω καὶ ἀπο τῆς τῶν πονηρῶν συνουσιας απείργω. **4.** Ἐγὼ μέν, ἔστε μὲν ἡ σπανοσιτία ἦν, οὔποτε ἐπαυόμην **ἐμαυτὸν** μὲν οἰκτιρων, βασιλέα δὲ καὶ τοὺς σὺν αὐτῷ μακαρίζων, διαθεώμενος ἄφθονα τὰ ἐπιτηδεια αὐτῶν.

ESERCIZIO
Aggettivi possessivi

19. **Analizza e traduci le seguenti frasi prestando particolare attenzione agli aggettivi possessivi, le cui forme sono evidenziate.**

1. Ὑμεῖς ὁρᾶτε πάντες καὶ μᾶλλον πιστεύετε τοῖς **ὑμετέροις** ὀφθαλμοῖς ἢ τοῖς τῶν ἀδολεσχῶν λόγοις. **2.** Νῦν δ᾽ ἴσως τοῖσι **σοῖς** λόγοις πείθεται, καὶ σωφρονεῖ. **3.** Εἰς τὴν **ὑμετέραν** οἰκίαν βούλομαι εισέρχεσθαι καὶ τὴν ησυχίαν ἔχειν ἐν τῷ **ὑμετέρῳ** κήπῳ. **4.** Ἀγγελίαν φέρω, ὦ Σώκρατες, χαλεπὴν οὐ σοί, ὡς ἐμοὶ φαίνεται, ἀλλ᾽ ἐμοὶ καὶ τοῖς **σοῖς** ἐπιτηδείοις πᾶσιν χαλεπὴν καὶ βαρεῖαν.

ESERCIZIO
Uso del genitivo del pronome personale o riflessivo

20. **Analizza e traduci le seguenti frasi, in cui sono evidenziate le forme di genitivo dei pronomi personali o riflessivi.**

1. Ἔλαφος δὲ πίνουσα ἐθεᾶτο τὴν **ἑαυτῆς** σκιὰν κατὰ τοῦ ὕδατος. **2.** Ὁ κωμαστὴς προσάγει τὸ **ἑαυτοῦ** στόμα πρὸς τὴν κύλικα **3.** Οἱ Ἀθηναῖοι τοὺς Πέρσας νικῶντες καὶ τὴν στρατιαν αὐτῶν διαφθείροντες, τὴν **ἑαυτῶν** πατρίδα ἐνδοξοτάτην καθίστασαν. **4.** Τὸ βλοσυρὸν ἦθος **ὑμῶν** ἐν ταῖς συμφοραῖς τοῦ επαινου ἄξιον ἦν.

ESERCIZIO
Pronomi riflessivi e possessivi

21. **Analizza e traduci le seguenti frasi.**

1. Ἕτοιμα ἔχωμεν πρὸς ὑποδοχὴν τὰ ἡμέτερα ὦτα **2.** Καὶ ἡμῶν αὐτῶν οἱ πρεσβύτεροι οὐκ ἄπειροι πολέμων εἰσίν **3.** Ὁ Προμηθεὺς ὑπο τοῦ Διος κελευόμενος τὰ κρέα ἐν εὐωχίᾳ διαμερίζειν, αυτῷ τας καλλίστας μοίρας ἐφύλαττε **4.** Οἱ τριάκοντα ἔλεγον «Ἡμεῖς, ὦ πολῖται, οὐχ ἧττον ὑμῖν κατασκευάζομεν τὴν πολιτείαν ἢ ἡμῖν αὐτοῖς δεῖ οὖν ὑμᾶς, ὥσπερ καὶ τῶν τιμῶν, οὕτω καὶ τῶν κινδύνων μετέχειν». **5.** Ὁ πατὴρ ὁ ἐμὸς ἐφύλασσε τὴν οἰκίαν ὥσπερ ὁ ἡγεμων τὴν ἑαυτοῦ στρατιάν.

VERSIONE
Difficoltà

165 Avvertimento di Menelao ad Alessandro

Menelao, re di Sparta, alla vigilia della guerra di Troia e dopo il rapimento di Elena, sua legittima sposa, invia un avvertimento a Pande/Alessandro prima della spedizione.

«Ἀλέξανδρος μὲν μόνου ἑαυτοῦ φροντίζει, τὴν δὲ αὐτοῦ χώραν διαφθείρει. Τὰ γὰρ τοῦ Ἀλεξάνδρου οὐ δίκαια ἐστιν· αἰσχρον γὰρ τον ξένον ὑβρίζειν Σύ, ὦ ἄγγελε, φέρε τὴν ἐμὴν ἀγγελίαν εις Τροίαν, τὴν χώραν τὴν τοῦ ἐμοῦ ἐχθροῦ. Ἄγγελλε αυτῷ ὅτι τὴν

ἐμαυτοῦ γαμετὴν ἀναλαμβάνειν βούλομαι Λέγε αὐτῷ ὅτι ἡμεῖς οἱ Ἀχαιοὶ πορευόμεθα εἰς πόλεμον Τότε δὴ πολλοὶ τῶν ἡμετέρων ὁπλιτῶν καὶ τῶν ὁπλιτῶν αὐτοῦ δειναῖς μάχαις ἀποθνήσκειν ἀναγκάζονται».

LAVORIAMO SULLE **COMPETENZE**

Competenze linguistiche

a. Individua i pronomi personali, riflessivi e possessivi presenti nel brano
b. αὐτοῦ (r. 1): a chi è riferito questo pronome? Fai attenzione allo spirito.
c. αὐτοῦ (r. 5): a chi è riferito questo pronome?

Competenze lessicali

d. γαμετὴν (r. 4), quale termine scientifico italiano deriva da questo sostantivo? Aiutati con una breve ricerca sul dizionario.

Comprensione

e. Quali sono i nodi concettuali dell'argomentazione di Menelao?
f. Nel brano, l'io parlante si rivolge direttamente al destinatario del messaggio? Motiva la tua risposta facendo riferimento ai modi verbali impiegati.

VERSIONE
Difficoltà

166 Ricco e potente, ma pur sempre un uomo

Il ciabattino Micillo parla in prima persona e racconta del suo soggiorno presso la corte di un tiranno. Qui egli si fa abbagliare dal fasto della vita di quello, che sembra godere di una condizione sovrumana. La morte del potente uomo politico, tuttavia, infrangerà tale illusione, dimostrando la vanità di lusso e ricchezze.

Παροικῶν ἄνω τῷ τυράννῳ πάνυ ἀκριβῶς ἐώρων τὰ γιγνόμενα παρ' αὐτῷ καί μοι ἐδόκει τότε ἐκεῖνος ἰσόθεος εἶναι· τῆς τε γὰρ πορφύρας τὸ ἄνθος ὁρῶν ἐμακάριζον, καὶ τῶν ἀκολουθούντων τὸ πλῆθος καὶ τὸν χρυσὸν καὶ τὰ λιθοκόλλητα ἐκπώματα καὶ τὰς κλίνας τὰς ἀργυρόποδας· ἔτι δὲ καὶ ἡ κνῖσα ἡ τῶν σκευαζομένων εἰς τὸ δεῖπνον ἀπέκναιέ με, ὥστε ὑπεράνθρωπος ἀνὴρ καὶ τρισόλβιός μοι κατεφαίνετο καὶ μονονουχὶ πάντων καλλίων καὶ ὑψηλότερος, ἐπαιρόμενος τῇ τύχῃ καὶ σεμνῶς προβαίνων καὶ ἑαυτὸν ἐξυπτιαζων καὶ τοὺς ἐντυγχανοντας ἐκπλήττων. Ἐπεὶ δὲ ἀπέθανεν ("morì"), αὐτός τε παγγέλοιος ἐδόκει μοι ἀποδυσαμενος ("spogliato di") τὴν τρυφήν, καὶ ἐμαυτοῦ ἔτι μᾶλλον κατεγέλων, ἀπὸ τῆς κνίσης τεκμαιρόμενος αὐτοῦ τὴν εὐδαιμονίαν καὶ μακαρίζων ἐπὶ τῷ αἵματι τῶν εν τῇ Λακωνικῇ θαλαττῃ κοχλίδων.

da Luciano

LAVORIAMO SULLE **COMPETENZE**

Competenze linguistiche

a. Analizza tutti pronomi presenti nel testo indicandone persona, numero e tipo.
b. γιγνόμενα (r. 1) con quale funzione è usato il participio?
c. ἐμακάριζον (r. 2)· analizza questa voce verbale, quindi coniuga il verbo all'imperfetto indicativo e al presente ottativo medio-passivo.
d. ὥστε (r. 5) che tipo di subordinata introduce? A quale verbo si lega?
e. πάντων (r. 6): come spieghi questo genitivo?
f. καλλίων (r. 6): analizza la forma e flettila per intero.
g. ἐπαιρόμενος (r. 6): analizza la forma e indicane la funzione sintattica.

Competenze lessicali

h. Individua nel testo tutti gli elementi materiali che caratterizzano la τρυφή, il "lusso", del tiranno.

i. Analizza i composti ἰσόθεος (r. 2) e ὑπεράνθρωπος (r. 5) e indica da quali termini sono formati.

Comprensione

j. Quali sono le valutazioni di Micillo dopo la morte del tiranno? Qual è il significato della considerazione finale?

TRADUCI SENZA VOCABOLARIO

Leggi con attenzione il brano e tenta di comprenderne il significato generale senza l'aiuto del vocabolario. Aiutati con le note esplicative in cui sono mostrati termini derivati da quelli presenti nel testo (< o >), sinonimi (=), contrari (≠), parole di significato simile (≃). Infine, rispondi alle domande di comprensione.

VERSIONE

Difficoltà

167 La cerva e il leone

Per sfuggire ai cacciatori una cerva finisce per trovarsi in una situazione ben peggiore.

Ἔλαφος[1] κυνηγοὺς[2] φεύγουσα[3] εγίγνετο πρὸς σπήλαιον[4]. Ἐν τῷ ἄντρῳ[5] λέων[6] ἦν καὶ ἐνταῦθα[7] ἡ ἔλαφος εἰσῆει[8] ἵνα[9] κρύπτοιτο[10]. Συλλαμβανομένη[11] δὲ ὑπὸ τοῦ λέοντος καὶ θνῄσκουσα[12] ἔφη[13] «Βαρυδαίμων[14] ἐγώ, ὅτι ἀνθρώπους φεύγουσα ἐμαυτὴν τῷ τῶν θηρίων[15] ἀγριωτάτῳ[16] ἐνεχείριζον[17]». Οὕτως ἔνιοι τῶν ἀνθρώπων διὰ φόβον[18] ἐλασσόνων[19] κινδύνων[20] ἑαυτοὺς εἰς μείζονα[21] κακὰ[22] εἰσιᾶσιν[23].

da Esopo

1. ἔλαφος (ἡ) = lat. *cerva*
2. κυνηγός < κύων + ἄγω
3. φεύγω = lat. *fugio*.
4. σπήλαιον > it "spe·eo·logia".
5. ἄντρον = σπήλαιον
6. λέων = lat. *leo*.
7. ἐνταῦθα = ἐκεῖ.
8. εἴσειμι < εις + εἶμι
9. ἵνα = ὅπως, ὡς.
10. κρύπτω > it "cripto-"
11. συλλαμβάνω ≃ αἱρέω, ἁρπάζω.
12. θνήσκω = τελευτάω
13. φημί = λέγω.
14. βαρυδαιμων ≠ ὄλβιος, μάκαρ, εὐτυχής.
15. θηριον ≃ ζῷον
16. ἄγριος ≠ βίαιος, δεινος
17. ἐγχειρίζω ≃ δίδωμι.
18. φόβος > it "fobia"
19. ελασσων = compar di ἐλαχύς, "piccolo".
20. κίνδυνος = lat. *periculum*.
21. μειζων = compar di μεγας.
22. κακα (τά) ≠ αγαθά (τά)
23. εισίημι < εις + ἵημι

1. La cerva si rifugia in una grotta per sfuggire al leone. V F
2. Il leone risparmia la cerva. V F
3. La cerva si pente di essersi nascosta nella grotta V F
4. Alcuni uomini, talvolta, si comportano come la cerva V F

3 I pronomi dimostrativi

Grammatica cap. 19, par. 4 ▶ pp. 134-136

Lessico frequente 35

Sostantivi

βωμός, -οῦ, ὁ = altare
ἑταῖρος, -ου, ὁ = amico, compagno, seguace (politico)
ὄλβος, -ου, ὁ = prosperità, fortuna
ὅρος, -ου, ὁ = limite, confine, frontiera; criterio, regola
πίστις, -εως, ἡ = fiducia (che si ha in qualcuno); garanzia, assicurazione (che si dà o si riceve)

Aggettivi

ἀλλότριος, -α, -ον = di altri, altrui; estraneo, forestiero
ἄπιστος, -ον = incredulo, diffidente; dubbio, indegno di fede
δόκιμος, -ον = stimato, insigne
θρασύς, -εῖα, -ύ = intrepido, coraggioso; baldanzoso, temerario
μεστός, -ή, -όν = colmo, pieno

Verbi

ἀγωνίζομαι = gareggiare, contendere, combattere; discutere una causa, sostenere un processo
βουλεύω = tener consiglio, deliberare (περί + genit.); βουλεύομαι = consultarsi (περί + genit.)
ἐμμένω = restare fedele a, osservare, rispettare (+ dat.)
ζηλόω = emulare; invidiare; ammirare
θαρρέω = essere ardito; avere fiducia (περί, ὑπέρ + genit.); affrontare con coraggio, non temere (+ acc.)
ὁμολογέω = essere d'accordo, accordarsi con (+ dat.); ammettere, riconoscere che (con ὅτι + ind. o part. pred.)
ὀρέγω = tendere, protendere; ὀρέγομαι = desiderare, aspirare a (+ genit.)
πάσχω = soffrire, patire; con l'avv. εὖ = godere, provare una sensazione gradevole
σπεύδω = aspirare, ambire a (+ acc.); affrettare, sollecitare (+ acc.); affrettarsi (ass.); sforzarsi, adoperarsi (+ inf. o ἵνα, ὅπως, ὡς + cong.)
φυλάσσω = sorvegliare, proteggere, custodire

RAGIONA CON IL LESSICO

ESERCIZIO
Dall'italiano al greco

22. **Rintraccia tra i vocaboli del** Lessico frequente 35 **le parole etimologicamente connesse con i seguenti termini italiani, precisando quindi il loro significato.**

	Dal greco...	Significato
1. patetico		
2. etera		
3. docimologico		
4. agonismo		
5. omologazione		
6. orizzonte		

ESERCIZIO Lessico corradicale

23. **Individua a quali termini del Lessico frequente 35 sono connessi i seguenti vocaboli, quindi prova a congetturarne il significato in base ai prefissi e ai suffissi con cui sono formati, verificando sul vocabolario la correttezza della tua ipotesi.**

	Dal termine...	Significato
1. ἄλλος, -η, -ο		
2. πιστεύω		
3. μένω		
4. δόξα, -ης, -ή		
5. μεστόω		
6. ἀφύλακτος, -ον		
7. βουλευτήριον, -ου, τό		
8. θάρσος, -ους, τό		
9. φιλέταιρος, -ον		

ESERCIZIO Caccia all'intruso

24. **In ciascuno dei seguenti insiemi di vocaboli c'è un intruso: individualo. Le iniziali dei termini così trovati indicheranno quello a cui la maggior parte degli uomini aspira.**

a] ἑταῖρος • ἑταιρεία • συμπόσιον • ὁδός • κῶμος
b] σπεύδω • ὀρέγω • ἐθέλω • ἱμείρω • λαμβάνω
c] βουλεύω • βουλευτής • βούλομαι • συμβουλευτικός • ἐπιβουλή
d] ὁμολογέω • πολεμέω • ἀγωνίζομαι • ἀντιλέγω • κατηγορέω
e] φυλάσσω • συκῆ • ἐμμένω • ζηλόω • πάσχω

▶ Henry Ryland, *Le donne di Corinto*, 1898, Collezione privata

ESERCIZIO DI SINTESI
Lessico frequente e Lessico tematico

25. GIRA LA RUOTA **Memorizza il lessico giocando con la ruota e completa dove necessario con le parole che hai studiato.**

PREPARATI ALLA TRADUZIONE

I seguenti esercizi ti permettono di verificare se hai imparato a:
riconoscere e declinare i pronomi e gli aggettivi dimostrativi.

ESERCIZIO Riconoscimento

26. Scegli, tra quelle indicate, la forma di dimostrativo corretta, quindi traduci.

1. Ταῦτα Ταύτας μὲν οὖν πειρῶ οὕτω ποιεῖν. **2.** Ὁρῶ ἐκείνους ἐκείνας στρατιώτας τῶν κινδύνων καταφρονοῦντας. **3.** Ὁ δὲ νόμος τοῖς Ἕλλησι μὴ κτείνειν τούτους οὗτους, **4.** Ῥώμη μετὰ γνώμης χρηστῆ, ἄνευ δὲ ἐκεινας / ἐκείνης βλαβερά ἐστιν. **5.** Οὔτε σὺ

ἐκείνας ἐκείνους φιλεῖς οὔτ' ἐκεῖνάι σε. **6.** Ὅδε Τόδε τὸ βέλτιστον πρᾶγμα εἶναι νομίζω. **7.** Αὐτοι πολέμιοι ἡμῖν ἦσαν, καὶ τοῦτοι /οὗτοι οὐκ ἀσθενεῖς, ἀλλ' ἱκανοὶ μάχεσθαι. **8.** Τήνδε Τόνδε μεν εὐδαιμονεστάτην, ἐκεῖνα ἐκείνην δὲ δυστυχεστάτην νομίζομεν.

ESERCIZIO
Flessione

27. **Concorda con i seguenti sostantivi l'aggettivo dimostrativo indicato tra parentesi.**

1.	στάσις (ἐκεῖνος)	**11.**	ὁδοῦ (οὗτος)
2.	ἡμέρᾳ (ὅδε)	**12.**	δένδρον (οὗτος)
3.	ἁλιέως (οὗτος)	**13.**	γένεσι (ἐκεῖνος)
4.	δοῦλον (ὅδε)	**14.**	ἐλέφαντας (ὅδε)
5.	ὅπλοις (οὗτος)	**15.**	λιμένοιν (οὗτος)
6.	στρατιωτῶν (οὗτος)	**16.**	ἀνδρί (ὅδε)
7.	νησιῶται (ἐκεῖνος)	**17.**	μητέρων (οὗτος)
8.	κόσμος (ὅδε)	**18.**	θεραπαίναις (ὅδε)
9.	ὁπλίτας (οὗτος)	**19.**	κριτά (ἐκεῖνος)
10.	γένη (οὗτος)	**20.**	κόραις (οὗτος)

ESERCIZIO
Lessico

28. **Traduci le seguenti frasi senza l'aiuto del vocabolario.**

1. Νόμιζε δὲ τοὺς μὲν πολίτας ἑταίρους.
Νόμιζε δὲ τοὺς μὲν πολίτας ἑταίρους, τὴν δὲ πατρίδα οἶκον.
Νόμιζε δὲ τοὺς μὲν πολίτας ἑταίρους, τὴν δὲ πατρίδα οἶκον, τοὺς δὲ φίλους τέκνα σεαυτοῦ.
Νόμιζε δὲ τοὺς μὲν πολίτας ἑταίρους, τὴν δὲ πατρίδα οἶκον, τοὺς δὲ φίλους τέκνα σεαυτοῦ, τοὺς δὲ παῖδας τὴν σὴν ψυχήν.

2. Θεράπευε εὐσέβειαν.
Θεράπευε εὐσέβειαν, παιδείαν.
Θεράπευε εὐσέβειαν, παιδείαν, σωφροσύνην, φρόνησιν.
Θεράπευε εὐσέβειαν, παιδείαν, σωφροσύνην, φρόνησιν, ἀλήθειαν, πίστιν

3. Ὑμεῖς ἀγωνίζεσθε.
Ὑμεῖς ἀγωνίζεσθε καθ' ἑκάστην τὴν ἡμέραν.
Ὑμεῖς ἀγωνίζεσθε πρὸς τους πολεμιους καθ' ἑκάστην τὴν ἡμέραν
Περὶ τούτων τῶν ἄθλων ὑμεῖς ἀγωνίζεσθε καθ' ἑκάστην τὴν ἡμέραν.

4. Ἀλλὰ θαρρεῖτε.
Ἀλλὰ καρτερεῖτε καὶ θαρρεῖτε.
Ἀλλα καρτερεῖτε καὶ θαρρεῖτε, ἐπιστάμενοι ὅτι τὰς συμφορὰς αἱ πόλεις ἐπανορθοῦνται.
Ἀλλὰ καρτερεῖτε καὶ θαρρεῖτε, ἐπιστάμενοι ὅτι τὰς συμφορὰς αἱ πόλεις ἐπανορθοῦνται πολιτείᾳ χρηστῇ.

DDI
Lettura espressiva delle versioni

TRADUCI

Per facilitarti nella traduzione, ricorda che in questa sezione di esercizi si utilizzano vocaboli tratti dal Lessico frequente, dal Lessico tematico e altri che troverai sul vocabolario.

ESERCIZIO
Pronomi e aggettivi dimostrativi

29. Analizza e traduci le seguenti frasi prestando attenzione alla funzione dei dimostrativi, le cui forme sono evidenziate.

1. Καὶ **τοῦτο** ὑπομιμνήσκετε, ὅτι **ἥδε** ἡ ἡμέρα δείκνυσι τὴν ὑμετέραν ἀρετήν. 2. Πολεμικώτατοι δὲ λέγονται **οὗτοι** τῶν περὶ **ἐκείνην** τὴν χώραν βαρβάρων εἶναι. 3. **Τοῦτο** δὲ πράττων ὁ στρατηγὸς σαφηνίζειν ἐδόκει ὅτι εἰς μάχην παρεσκευάζετο. 4. **Τῶνδε** μέντοι ὁ Ἀγησίλαος πλεονέκτης ἦν· ἐν μὲν τῷ θέρει τοῦ ἡλίου, ἐν δὲ τῷ χειμῶνι τοῦ ψύχους. Ἤγειτο γὰρ οὐ τὴν μαλακίαν, ἀλλὰ τὴν καρτερίαν τῷ ἄρχοντι προσήκειν. 5. Ἐπειδὴ προυχώρει ὁ πότος, εἰσήρχετο ἀνὴρ Θρᾷξ ἵππον ἔχων λευκὸν καὶ ἔλεγε· «Προπίνω σοι, ὦ Σεύθη, καὶ τὸν ἵππον **τοῦτον** δωροῦμαι». 6. Οὕτω Σωκράτης ἦν ἐν παντὶ πράγματι καὶ πάντα τὸν τρόπον ὠφέλιμος, ὥστε καὶ τὸ **ἐκείνου** μιμνήσκεσθαι μὴ παρόντος ὠφέλει τοὺς εἰθιζομένους σὺν **ἐκείνῳ** συνεῖναι. 7. Ἐν δὲ **τούτῳ** ἤκουσιν Τισσαφέρνης ἔχων τὴν ἑαυτοῦ δύναμιν καὶ Ὀρόντας ἔχων τὴν ἑαυτοῦ. 8. Ἐγὼ ἐνθυμοῦμαι μὲν καὶ **ταῦτα** πάντα· ἐννοῶ δ' ὅτι, εἰ νῦν ἀπερχόμεθα, **τοῦτο** παρὰ τὰς σπονδὰς ποιοῦμεν. 9. Ἀγαθὸν μὴν ἀπεργάζεται καὶ **τόδε** ἡ ἔξω σίτησις· περιπατεῖν πάντες ἀναγκάζονται ἐν τῇ οἰκαδε ἀφόδῳ. 10. Οἱ Ῥωμαῖοι τε καὶ οἱ Ἕλληνες ἐνδοξότατοί εἰσιν πάντων τῶν ἐθνῶν· **οἵδε** μὲν βέλτιστοι ἐν ταῖς τέχναις ἦσαν, **ἐκεῖνοι** δὲ σὺν τοῖς ὅπλοις ἰσχυρότατοι καὶ λαμπρότατοι διὰ τὴν τῶν νόμων ἐπιστήμην.

ESERCIZIO
Pronomi e aggettivi dimostrativi

30. Analizza e traduci le seguenti frasi.

1. Μετὰ δὲ τοῦτο οὐ πολλῷ ὕστερον καταλαμβάνουσιν οἱ Ἠλεῖοι Λασιῶνα. 2. Ὦ ἄνδρες πολῖται, ἡμεῖς τούτους τοὺς ἀποκτείναντας Εὔφρονα διώκομεν περὶ θανάτου. 3. Καὶ Κερκυραίους τοὐσδε μὴ συμμάχους δέχεσθε. 4. Ἀλέξανδρος πρὸς τὸν Δαρεῖον, τὸν τῶν Περσῶν βασιλέα, πόλεμον ἐκφέρει καὶ ῥᾳδίως αὐτὸν νικᾷ· τοῦδε μὲν γὰρ ἀνδρεῖοι καὶ ἰσχυροί εἰσι οἱ στρατιῶται, ἐκείνου δὲ δειλοὶ καὶ μαλακοί. 5. Λέγουσι καὶ τόδε εἶναι μεγα ἐν τῇ Ἰνδῶν γῇ, παντας Ἰνδοὺς εἶναι ἐλευθέρους· τοῦτο καὶ τοῖς Λακεδαιμονίοις συμβαίνει. 6. Ταῦτα ἐγὼ ἐσπούδαζον οὐχ ὑπὲρ ἐμαυτοῦ μόνον, ἀλλὰ καὶ ὑπὲρ τῆς τούτου ἀδελφῆς καὶ ὑπερ τῆς τουτου ἀδελφιδῆς· αὗται γάρ εἰσιν αἱ ἀδικούμεναι οὐχ ἧττον ἐμοῦ, ἀλλὰ καὶ μᾶλλον. 7. Ἐγώ, ὦ ἄνδρες, οὐκ ἰδίαν ὑπὲρ ἐμαυτοῦ νομίζω ταυτην γιγνεσθαι τὴν τιμωριαν, ἀλλ' ὑπὲρ τῆς πόλεως ἁπασης· οἱ γὰρ ταῦτα πράττοντες, ὁρῶντες τὰ τούτων τῶν ἁμαρτημάτων ἆθλα καὶ ὑμᾶς τὴν αὐτὴν γνώμην ἔχοντας, ἧττον εἰς τους ἄλλους ἐξαμαρτάνειν μέλλουσιν. 8. Ὦ ἄνδρες δικασταί, εἰ ὑμῖν δοκεῖ μεγάλη ἥδε η ζημία εἶναι καὶ λίαν ἰσχυρὸς ὅδε ὁ νόμος, μιμνήσκεσθαι χρὴ ὅτι οὐχ ἥκετε ἵνα νομοθετῆτε περι τούτων τῶν πραγμάτων, ἀλλ' ἵνα κατὰ τοὺς κυρίους νόμους ψηφίζητε. 9. Ὅτε δ' αὖτη ἡ μάχη ἐγίγνετο, Τισσαφέρνης ἐν Σάρδεσιν ἐτύγχανεν ὤν, ὥστε ἠτιῶντο οἱ Πέρσαι αὐτὸν προδότην εἶναι. Πυνθανόμενος δὲ καὶ αὐτὸς ὁ Περσῶν βασιλεὺς Τισσαφέρνην αἴτιον εἶναι τοῦ κακῶς φέρεσθαι τὰ ἑαυτοῦ, Τιθραύστην καταπέμπων ἀποτέμνει αὐτοῦ τὴν κεφαλήν.

VERSIONE
Difficoltà

168 Nascita e prima infanzia di Zeus a Creta

Per sfuggire alla furia di Crono che divora i suoi stessi figli, Rea si rifugia a Creta, dove partorisce Zeus e lo fa allevare da alcuni mitici abitanti dell'isola.

Καὶ Κρόνος πρωτην μὲν Ἑστίαν κατεπινεν, εἶτα Δήμητραν καὶ Ἥραν, μετὰ δὲ ταῦτα Πλούτωνα καὶ Ποσειδῶνα. Ὀργιζομένη δὲ ἐπι τούτοις Ῥέα παραγίγνεται μὲν εἰς Κρήτην, ὀπηνίκα ("nel momento in cui") τὸν Δία ἐγκυμονοῦσα ἐτύγχανε, γεννᾷ δὲ ἐν ἄντρῳ τῆς Δίκτης Δία. Καὶ τοῦτον μὲν δίδωσι τρέφεσθαι Κούρησί τε καὶ ταῖς Μελισσέως παισὶ νύμφαις, Ἀδραστείᾳ τε καὶ Ἰδῃ. Αὗται μὲν οὖν τον παῖδα ἔτρεφον τῷ τῆς Ἀμαλθείας γάλακτι, οἱ δὲ Κούρητες ἔνοπλοι ἐν τῷ ἄντρῳ τὸ βρέφος φυλάσσοντες τοῖς δόρασι τὰς ἀσπίδας συνεκρουον, ἵνα μὴ τῆς τοῦ παιδὸς φωνῆς ὁ Κρόνος ἀκούοι.

da Apollodoro

LAVORIAMO SULLE **COMPETENZE**

Competenze linguistiche

a. Individua tutti gli aggettivi e i pronomi dimostrativi.
b. ἐγκυμονοῦσα (r. 3): che funzione ha questo participio?
c. τοῦτον (r. 4): a chi è riferito?

Competenze lessicali

d. Individua sul vocabolario le due accezioni principali del termine νύμφη e scegli quella appropriata al contesto.
e. Individua tutte le parole che hanno a che fare con il parto e l'accudimento di un neonato.

Comprensione

f. Chi era Amaltea (r. 5)? Fai una breve ricerca su questa figura
g. Come mai i Cureti non vogliono che Crono ascolti la voce di Zeus?

VERSIONE

Difficoltà

169 Prometeo dona il fuoco agli uomini

Prometeo ed Epimeteo ricevono dagli dèi l'incarico di dotare gli esseri viventi di capacità e insorse che permettano loro di vivere. visto che gli uomini restano sfavoriti, Prometeo sottrae il fuoco sacro ad Atena ed Efesto e lo regala agli uomini, che potranno così avviare il proprio progresso.

Ἦν γάρ ποτε χρόνος ὅτε οι θεοι μεν ἦσαν, θνητα δὲ γένη οὐκέτι ἦν· ἐπειδὴ δὲ καὶ τούτοις χρόνος γενέσεως ἔρχεται, τυποῦσιν αὐτὰ θεοὶ ἐκ γῆς καὶ πυρός. Ἐπειδὴ δ' ἄγειν αὐτὰ πρὸς φῶς ἔμελλον, προσέτασσον Προμηθεῖ καὶ Ἐπιμηθεῖ κοσμεῖν αὐτά· οὕτως ὅδε μὲν ἑκάστοις δυνάμεις ἔνεμεν, ἐκεῖνος δὲ τὰ πάντα ἐπεσκέπτετο Ἐπιμηθεὺς δέ, τὰ ζῷα ἐπανισοῦν βουλομενος, τοῖς μὲν ἰσχυν ἄνευ τάχους προσῆπτεν, τοῖς δὲ ἀσθενεστέροις τάχος επόριζεν, τοὺς μὲν ὥπλιζε, τοῖς δ' ἄοπλον διδοὺς φύσιν ἄλλην δύναμιν εἰς σωτηρίαν αὐτοῖς ἐμηχανᾶτο· τοῖς μὲν γαρ μικροῖς οὖσι πτηνὸν φυγὴν ἢ κατάγειον οἴκησιν ἔνεμε, τοὺς δὲ ἄλλους ηὔξανε μεγέθει, καὶ τῷδε αὐτῷ αὐτὰ ἔσωζεν Ἀλλ' οὗτος οὐ πάνυ σοφὸς ὤν, ἐλάνθανεν αὐτὸν λείπων μόνους τοὺς ἀνθρωπους ἀκοσμήτους Ὡς δ' ὁ Προμηθεὺς ταῦθ' ὁρᾷ, κλέπτει Ἡφαίστου καὶ Ἀθηνᾶς τὴν ἔντεχνον σοφίαν σὺν πυρί – ἀμήχανον γὰρ ἦν ἄνευ πυρὸς αὐτὴν χρησίμην γενέσθαι – καὶ δωρεῖται τοῖς ἀνθρώποις, ἵνα οὗτοι τὴν περὶ τὸν βίον σοφίαν ἔχοιεν.

da Platone

LAVORIAMO SULLE **COMPETENZE**

Competenze linguistiche

a. τούτοις (r. 2) analizza la forma e indica a quale sostantivo di riferisce
b. ἔμελλον (r. 3). qual è il soggetto di questa forma verbale?
c. ὅδε μέν. ἐκεῖνος δέ (rr. 3-4) a chi si riferiscono rispettivamente i due pronomi?
d. οὖσι (r. 7): qual è la funzione sintattica del participio?
e. οὗτος (r. 8): a chi si riferisce il pronome?

Competenze lessicali

f. Prometeo ed Epimeteo sono due "nomi parlanti". spiegane il significato a partire da una ricerca sulla loro formazione.

Comprensione

g. Come fanno gli dèi a creare gli esseri viventi?
h. In che cosa consiste l'importanza del fuoco?

VERSIONE

Difficoltà

170 Senofonte esorta i suoi soldati

Il momento è difficile e la possibilità di salvarsi assai remota, ma i Greci devono ricordarsi delle gloriose imprese dei loro avi e della benevolenza che già in passato gli dèi hanno mostrato nei loro confronti.

Ὁ Ξενοφῶν ἔλεγε τοῖς στρατιώταις· «Ὦ ἄνδρες, ἐπεί, περὶ σωτηρίας ἡμῶν λεγόντων, οἰωνὸς τοῦ Διὸς τοῦ Σωτῆρος ἐφαίνετο. δίκαιοί ἐσμεν τῷ θεῷ θύοντες» Τοὺς δὲ λόγους δ᾽ ἐπῄνουν ἅπαντες. Ἤρχετο πάλιν ὧδε· « Ἐτύγχανον λέγων ὅτι πολλαὶ καὶ καλαὶ ἐλπίδες ἡμῖν εἶεν σωτηρίας. Πρῶτον μὲν γὰρ ἡμεῖς μὲν ἐμπεδοῦμεν τοὺς τῶν θεῶν ὅρκους, οἱ δὲ πολέμιοι ἐπιορκοῦσί τε καὶ τὰς σπονδὰς παρὰ τοὺς ὅρκους λύουσιν Διὰ δὲ ταῦτα εἰκός ἐστι τοῖς μὲν πολεμίοις ἐναντίους εἶναι τους θεους, ἡμῖν δὲ συμμαχους Ἔπειτα δὲ θέλω ἀναμιμνήσκειν ὑμᾶς καὶ τοὺς τῶν προγονων τῶν ημετέρων κινδύνους, ἵνα μανθάνητε ὡς ἀγαθοὶ ὑμῖν προσήκει εἶναι και οἱ ἀγαθοι σῳζονται σὺν τοῖς θεοῖς καὶ ἐκ πάνυ δεινῶν (neutro) Ἐπεὶ μὲν γὰρ ἦκον οἱ Πέρσαι ὡς αφανίζοιεν τὰς Ἀθήνας, ὑφίστασθαι αὐτοὶ Ἀθηναῖοι τολμῶντες ἐνίκων αυτους. Ἔπειτα δέ, ὅτε Ξερξῆς ἔχων τὴν ἀναρίθμητον στρατιὰν ἦρχετο ἐπὶ τὴν Ἑλλάδα, καὶ τότε ἐνίκων οἱ ἡμέτεροι πρόγονοι τοὺς τούτων προγόνους καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν. Τοιούτων ἐστε προγόνων»

da Senofonte

LAVORIAMO SUL LESSICO

1. Analizza ciascun periodo, individuando 1) i nomi propri, 2) le parole ricorrenti, 3) le parole di cui conosci il significato, 4) le parole di cui ipotizzi il significato sulla base della loro appartenenza a una certa famiglia lessicale o degli esiti che esse hanno prodotto in italiano o in altre lingue moderne a te note, 5) l'area semantica dominante.

Nomi propri	Parole ricorrenti	Parole di cui conosci il significato	Parole di cui ipotizzi il significato	Area semantica dominante

2. Collega i seguenti vocaboli tratti dal brano con i termini di significato affine e opposto, riportati rispettivamente nelle colonne A e B.

	A	B
1. τολμάω	a. ὑπομένω	A. ἀνίστημι
2. ἐπαινέω	b. ἀναιρέω	B. εὖνους
3. ἐμπεδόω	c. ἐμμένω	C. ὀκνέω
4. ἐναντίος	d. συγκατατίθημι	D. παραβαίνω
5. ὑφίσταμαι	e. θαρρέω	E. μέμφομαι
6. ἀφανίζω	f. δυσχερής	F. ἐκφεύγω

3. Con l'aiuto del dizionario completa la seguente mappa, relativa alla famiglia lessicale di μανθάνω.



4 Il pronome relativo e la proposizione relativa

Grammatica cap. 19, par. 5 ▶ pp. 136

SCHEDA MORFOSINTATTICA

- La proposizione relativa può essere introdotta dal **pronome** **ὅς, ἥ, ὅ** ("che", "il/la quale", cfr. lat. *qui, quae, quod*) o da un **avverbio** come **ἵνα, οὗ, ὅπου, ἔνθα** ("dove", stato in luogo, cfr. lat. *ubi*), **οἷ, ὅποι** ("dove", moto a luogo, cfr. lat *quo*), **ὅτε** ("quando", cfr lat. *cum*) ecc.
- Come in latino, il pronome **concorda in genere e numero** con il proprio **antecedente** (così si chiama il sostantivo cui è riferito), ma assume il caso previsto dalla funzione logica che svolge nella frase relativa.

> Οἱ παῖδες **οὓς** ὁρᾷς υἱεῖς μού εἰσιν.
> *Pueri* ***quos*** *vides filii mei sunt.*
> I bambini **che** vedi sono i miei figli.

▶ Prolessi o anticipazione del pronome relativo

- A volte in greco (e in latino) il pronome relativo precede e anticipa il termine cui si riferisce e perciò la proposizione relativa si incontra prima della sua reggente. In italiano è ammesso solo l'ordine inverso: la relativa segue sempre la sua reggente e di norma il pronome è immediatamente successivo al suo antecedente. Pertanto nella traduzione tale disposizione sintattica deve essere ripristinata: ciò è possibile invertendo la proposizione relativa con la sua reggente e ponendo il pronome relativo dopo il termine cui si riferisce.

> Ἃ ποιεῖς, **ταῦτα** ἐπαινῶ.
> ***Quae*** *facis,* ***ea*** *laudo*
> Approvo **quello che** fai.

▶ Assorbimento dell'antecedente

- Quando il relativo ha come antecedente un pronome determinativo o dimostrativo che svolge la medesima funzione sintattica, quest'ultimo può essere omesso in greco, ma nella traduzione italiana deve essere reinserito.

Οὓς τὸ κλέος ἀθανάτους ποιεῖ τιμᾶτε (sott. τούτους).
Quos *gloria immortales reddit veremini* (sott. **eos**).
Onorate **coloro che** la gloria rende immortali.

Ἃ λέγεις δίκαια ἐστι (sott. ταῦτα)
Quae *dicis iusta sunt* (sott. **ea**).
Quello che dici è giusto.

- A differenza del latino, in greco il fenomeno dell'assorbimento dell'antecedente può verificarsi anche quando il dimostrativo e il relativo sono in casi diversi

Ὃν οἱ θεοὶ φιλοῦσιν ἀποθνήσκει νέος (sott. οὗτος).
Quem *dei amant,* ***ille*** *iuvenis moritur.*
Muore giovane **colui che** gli dèi amano.

Οἷς οἱ στρατιῶται ἐβοηθουν οἱ πολεμιοι ἦρουν (sott τούτους)
Quibus *milites succurrebant,* ***eos*** *hostes capiebant.*
I nemici catturavano **coloro a cui** i soldati prestavano aiuto.

▶ Attrazione diretta del pronome relativo

- Un pronome relativo in accusativo può essere attratto nel caso del termine di riferimento, purché questo sia in genitivo o in dativo. Questo fenomeno non modifica la traduzione in italiano.

Τὰ πράγματα ὑμῶν ἄξιά εἰσιν **τῶν τιμῶν ἃς** ἀποδέχεσθε. → costruzione canonica
Τὰ πράγματα ὑμῶν ἄξια εἰσιν **τῶν τιμῶν ὧν** ἀποδέχεσθε → costruzione con attrazione diretta del pronome relativo

Res gestae vestrae dignae sunt ***honorum quos*** *accipitis.*
Le vostre imprese sono degne **degli onori che** ricevete.

- Il sostantivo di riferimento può anche non trovarsi nella sovraordinata, ma essere incluso alla fine della proposizione relativa introdotta dal pronome attratto, privo però dell'articolo. La traduzione in italiano resta tuttavia invariata.

Τὰ πράγματα ὑμῶν ἄξιά εἰσιν **ὧν** ἀποδέχεσθε **τιμῶν**.

- Se il termine di riferimento è un pronome dimostrativo, insieme all'attrazione diretta (1) può verificarsi anche l'assorbimento dell'antecedente (2) e l'anticipazione del relativo (3). Anche in questo caso la traduzione in italiano resta invariata.

Τούτων ἀκούω ἃ λέγεις.
Ascolto ciò che dici

(1) **Τούτων** ακουω **ὧν** λέγεις → attrazione diretta del pronome relativo
(2) Ἀκούω **ὧν** λέγεις (sott. **τούτων**). → attrazione diretta del pronome relativo + assorbimento del dimostrativo
(3) **Ὧν** λέγεις ἀκουω (sott. **τούτων**). → attrazione diretta del pronome relativo + assorbimento del dimostrativo + anticipazione della relativa

- Se il dimostrativo assorbito è retto da una preposizione, questa è anteposta al pronome relativo che lo assorbe.

Ἀπέρχεται σὺν **τούτοις ἃ** ὁ πατὴρ δωρεῖ.
Ἀπέρχεται σὺν **οἷς** ὁ πατὴρ δωρεῖ.
Va via con **ciò che** il padre gli dona.

▶ Attrazione inversa del pronome relativo

- Secondo questo fenomeno, non così frequente, è il termine di riferimento a essere attratto nel caso del pronome relativo.

> Ὁ **ἀνὴρ ὃν** ζητεῖς ἀδελφός μού εστι → costruzione canonica
> **Τὸν ἄνδρα ὃν** ζητεῖς ἀδελφός μού εστι → costruzione con attrazione inversa del pronome relativo
>
> ***Vir quem*** *petis frater meus est.*
> **L'uomo che** cerchi è mio fratello.

Anche nell'attrazione inversa del pronome relativo il termine di riferimento può essere incluso nella subordinata relativa, privo dell'articolo. La traduzione in italiano non cambia neppure in questo caso.

> Ὃν ζητεῖς **ἄνδρα** ἀδελφός μού ἐστι.

▶ Il nesso relativo

- Nel caso in cui il pronome relativo svolga la funzione di nesso relativo, è posto all'inizio del periodo e crea uno stretto legame (= *nexus*, lat.) con un termine della frase precedente o con il concetto da questa espresso. Non è possibile confonderlo con una prolessi, perché il nesso in realtà non introduce una relativa, ma una proposizione indipendente. Per questo motivo nella traduzione il relativo deve essere sostituito da un dimostrativo, di solito preceduto da una congiunzione copulativa o avversativa, in base al contesto.

> **Σοφῶν ἀνθρώπων** πληρης ἐστὶ ἡ πόλις. **Ὧν** λόγους ακουοντες τῆς ἀρετῆς ορεγεσθε.
> ***Sapientium hominum*** *plena est civitas.* ***Quorum*** *verba audientes ad virtutem tendite.*
> La città è piena **di uomini saggi**. Ascoltando le **loro** parole, aspirate alla virtù[1]

▶ Locuzioni particolari costruite con il pronome o con gli avverbi relativi

- Ecco alcuni esempi di costruzioni particolari con i relativi.

ἔστιν ὅς	c'è qualcuno che, qualcuno
ἔστιν ᾧ	c'è qualcuno a cui, per cui
ἔστιν / εἰσὶ οἵ	ci sono alcuni che, alcuni
ἔστιν ὧν	ci sono alcuni di cui
ἔστιν οἷς	ci sono alcuni a cui, per cui
ἔστιν οὓς	ci sono alcuni che, alcuni
ἔστιν ἵνα	ci sono luoghi in cui, in qualche luogo
ἔστιν ὅπως	c'è qualche modo in cui, in qualche modo
ἔστιν ὅτε	ci sono momenti in cui, talvolta
ὃς καὶ ὅς	questi e quelli
καὶ ὅς, καὶ ἥ	ed egli ed ella
ἥ δ' ὅς	ed egli diceva

> **Ἔστιν οὓς** ὁρᾶτε ὑπὲρ τῆς ἐλευθερίας κινδυνεύοντας.
> Ci sono **alcuni che vedete**. **Vedete alcuni** rischiare la vita in difesa della libertà.

> **Ἔστιν ὅτε** καὶ οἱ ἀνδρεῖοι στρατιῶται φεύγουσιν.
> **Talvolta** anche i soldati valorosi fuggono.

PREPARATI ALLA TRADUZIONE

I seguenti esercizi ti permettono di verificare se hai imparato a:
- riconoscere e declinare il pronome relativo;
- individuare nel periodo una proposizione relativa e collegarla correttamente al suo antecedente;
- riconoscere i fenomeni connessi all'uso del relativo in greco.

ESERCIZIO Flessione

31. Completa le seguenti frasi inserendo la forma corretta di pronome relativo, i cui antecedenti sono evidenziati in grassetto, quindi traduci.

1. Ἄνδρες στρατιῶται, θαυμάζετε **τὴν δόξαν** (di cui) ἄξιός εἰμι. **2.** Οἱ Λακεδαιμόνιοι στέργουσιν **τοὺς νόμους**, (di cui) ὁ Λυκοῦργος ὁ εὑρέτης ἐστιν. **3.** Ἀλκιβιάδης δὲ ἐδίωκεν ἔχων τούς τε ἱππέας καὶ **τοὺς ὁπλίτας**, (su cui, ἄρχω regge il genit.) ἦρχε Μένανδρος. **4.** Ὁ Πλάτων ἤκουε **τοὺς λόγους** (con cui) ὁ Σωκράτης τὰ τῶν σοφιστῶν μαθήματα ἤλεγχε **5.** Οἱ Αἰγινῆται τὸ τεῖχος ἐκλείπουσιν, εἰς δὲ **τὴν ἄνω πόλιν**, ἐν (in cui) ᾤκουν, ἀπεχώρουν. **6.** Ἐν Ἀθήναις ἦσαν πολλα **μνημεῖα**, (di cui) νῦν μόνον τὰ ἐρείπια ὑπολείπονται. **7.** Οὗτος μὲν γὰρ ἔχει **τὴν οὐσίαν**, (da cui) νῦν ἐστι λαμπρός, ἀλλοτρίαν. **8.** Ὀλβιας νομίζομεν **τὰς μητέρας** (che) τὰ τέκνα φιλεῖ καὶ πάντες τιμῶσιν. **9.** Πολλὴ δὲ **ἔχθρα** καὶ **μῖσος** ἀλλήλων τοῖς πολίταις ἐγγίγνεται, (per cui, usa il neutro plurale) ἐγὼ μάλα φοβοῦμαι ἀεί. **10.** Ἐν τῇ πόλει πάντες **τὸ κήρυγμα** γιγνώσκουσιν, (a cui) χρὴ πείθεσθαι.

ESERCIZIO Prolessi della relativa

32. Ripristina l'ordine sintattico di ciascuna frase secondo l'uso italiano, quindi traduci. Procedi seguendo l'esempio.

Es. Ἃ λέγεις, ταῦτα ἀρέσκει μοι. → Ταῦτα ἃ λέγεις ἀρέσκει μοι.
Quel che dici mi piace.

1. Οὓς τιμῶ, τουτους ἐς ἀρχῆς μέχρι τέλους ἀγαπῶ **2.** Ὧν τὴν δόξαν θαυμάζεις, τούτων μιμοῦ τὰς πράξεις **3.** Ἃ τόθ' ἡδόμην, ταῦτα νῦν οὐχ ἥδομαι **4.** Οἷς ὁ κίνδυνος οὐ περὶ χρημάτων ἐστίν, ἀλλὰ περὶ σωτηρίας, ἐκεῖνοι παντοδαποὺς ὑπομένειν πόνους ἑτοιμότατοί εἰσιν **5.** Ἃ δὲ λέγοντες ἐλπίζουσιν ἐξαπατᾶν ὑμᾶς, περὶ τούτων πειρῶ διδάσκειν. **6.** Οἱ προδιδόασιν τὴν τῶν φίλων πίστιν, τούτους ὁμολογοῦμεν πονηροτάτους εἶναι τῶν ἀνθρωπων **7.** Πολλάκις ἃ τέχνη οὐ παρεχει, ταῦτα τύχη δωρεῖ. **8.** Περὶ ὧν βουλεύεσθαι μέλλομεν, ταῦτα εστιν. **9.** Τότε οὓς ἐλάμβανε, τούτους ο προδότης ἀποπέμπει βασιλεῖ κρύφα τῶν ἄλλων συμμάχων **10.** Ἐφ' οἷς λέγεις, ταῦτα αἰσχρά εἰσιν

ESERCIZIO Assorbimento dell'antecedente

33. Per ciascuna delle seguenti frasi, esplicita i pronomi usati in funzione di antecedente e assorbiti nel relativo, quindi traduci. Procedi seguendo l'esempio.

Es. Ὁ διδάσκαλός ἐστι ᾧ τὸ βιβλίον δίδωμι. → Ὁ διδάσκαλός ἐστιν αὐτὸς ᾧ τὸ βιβλίον δίδωμι. Colui a cui do il libro è il maestro.

1. Ποιοῦσιν [ ] ἃ δεῖ ποιεῖν. **2.** Ἀγαθοὺς κρίνομεν [ ] οἳ τοῖς νόμοις ἐμμένουσιν. **3.** Ἐπὶ τοῖς πύργοις ἄγε [ ] ὃς ἄρχει τῶν σκευοφόρων. **4.** Δίκαιόν ἐστι εὐδαιμονεστάτους ἡγεῖσθαι [ ] οἳ ὑπὲρ τῆς ἑαυτῶν πατριδος τὸν βίον τελευτῶσιν. **5.** Ἡμεῖς δὲ προσλαμβάνομεν [ ] ὧν μάλιστα δεόμεθα. **6.** Ἀγήρατοι αἱ μνῆμαι καὶ ζηλωταὶ αἱ τιμαί εἰσι [ ] οἳ δια τὴν ἀρετὴν ὡς ἀθανατοι ὑμνοῦνται. **7.** Οἱ πονηροὶ δύνανται ποιεῖν μόνον [ ] ὧν δεῖ ἀπέχεσθαι. **8.** Ὧν σαφής ἐστιν ἡ ἀνδρεία, [ ]

ὑπὸ πάντων πολιτῶν θαυμάζονται. **9.** Ἔτι γὰρ σύ, ὦ Σώκρατες, λέγεις [ ] ἃ ἐγὼ πάλαι ἤκουον; **10.** Πρᾶττε καὶ μελέτα [ ] ἃ σοι συνεχῶς παρήγγελλον

ESERCIZIO
Attrazione diretta e inversa

34. Individua e sciogli la forma attratta presente in ciascuna delle seguenti frasi, quindi traduci. Procedi secondo l'esempio proposto.

Es. Βοηθῶ τοῖς ἀνθρώποις οἷς φιλῶ. → Βοηθῶ τοῖς ἀνθρώποις οὓς φιλῶ.
Aiuto gli uomini di cui sono amico. **(attrazione diretta)**
Τὴν παρθένον ἣν ὁρᾷς ἀδελφὴ τοῦ βασιλέως ἐστίν. → Ἡ παρθένος ἣν ὁρᾷς ἀδελφὴ τοῦ βασιλέως ἐστίν. La ragazza che vedi è sorella del re. **(attrazione inversa)**

1. Ἄξιοί ἐσμεν τῆς ἐλευθερίας ἧς κτώμεθα **2.** Ἐπαινῶ σε ἐπὶ τοῖς λόγοις οἷς λέγεις. **3.** Τάσδε γυναῖκας ἃς εἰσορᾷς ἥκουσιν **4.** Πολλακις λέγουσιν οἱ ἄνθρωποι περὶ ὧν οὐ γιγνώσκουσιν **5.** Ὦ ἄνδρες Ἕλληνες, δεῖ ὑμᾶς ἀξίους εἶναι ἧς ἔχετε ἐλευθερίας. **6.** Προσήκει τοὺς μαθητας ἀκούειν ὧν ὁ διδασκαλος αὐτοῖς λέγει. **7.** Ὁ ὄχλος οἷς ζηλοῖ ῥᾳδίως ἀκολουθεῖ **8.** Πάντες ἐπιθυμοῦσιν ὧν οὐκ ἔχουσιν διὸ λέγει ὁ Πλάτων ὅτι ὁ Ἔρως υἱὸς τῆς Πενίας ἐστίν. **9.** Ὁ Ἀλεξανδρος ὑφ' ὧν μᾶλλον ἔστεργε περιείχετο. **10.** Οὐ βουλόμεθα ἄλλα κτᾶσθαι, πρὸς οἷς ἤδη ἔχομεν

ESERCIZIO
Nesso relativo

35. Individua i nessi relativi presenti nelle seguenti frasi, poi traduci.

1. Ὧν αἰσθανόμενοι οἱ μὲν Ἀθηναῖοι φύλακας διέπεμπον εἰς τὰς πόλεις **2.** Δι' ὃ καὶ τοὺς υἱεῖς οἱ πατέρες ἀπο τῶν πονηρῶν ἀνθρώπων εἴργουσιν. **3.** Ἐξ ὧν δὴ καὶ οἱ Μαντινεῖς συνήρχοντό τε πάντες καὶ ἐψηφίζοντο τειχίζειν τὴν πόλιν. **4.** Ἃ ὁ στρατηγὸς ἐκέλευε τοὺς στρατιώτας αἱρουμένους διήρχοντο· ὑπὲρ ὧν δὲ οἱ ἄλλοι ὁπλῖται πρὸς τοὺς ἐχθροὺς ἀντετάσσοντο **5.** Πάντες τοὺς τῆς πόλεως νόμους γιγνώσκουσιν οἷς δὲ οἱ ἀδικοῦντες τῶν πολιτῶν οὐ πείθονται.

DDI
Lettura espressiva delle versioni

TRADUCI

Per facilitarti nella traduzione, ricorda che in questa sezione di esercizi si utilizzano vocaboli tratti dal Lessico frequente, dal Lessico tematico e altri che troverai sul vocabolario.

ESERCIZIO
Il pronome relativo e la proposizione relativa

36. Analizza e traduci le seguenti frasi, prestando particolare attenzione alla funzione dei relativi, le cui forme sono evidenziate.

1. Δεῖ ἡμᾶς φεύγειν τὰς φιλίας, **ὧν** ἀμφίβολός ἐστιν ἡ διάθεσις. **2.** Ἐκεῖνοι ἀνοιμώζουσιν, **οἷς** ὁ κίνδυνος ου περὶ χρημάτων ἐστίν, αλλὰ περι σωτηριας. **3.** Ἀδικεῖ Σωκράτης οὐ νομίζων θεοὺς ἐκείνους **οὓς** ἡ πολις νομίζει **4.** Την Ἑλένην παντες οἱ ποιηταὶ ἐπαινοῦσιν, **ἣ** καὶ τῷ γένει καὶ τῷ καλλει και δόξῃ πολὺ διέφερε πασῶν τῶν γυναικῶν. **5.** Ὁ νομοθέτης ὀργίζεται τοῖς πολιταις, **οὓς** ὁρᾷ τοῖς νομοις οὐκ ἐμμένοντας. **6.** Δικαίως λέγομεν ψυχὴν τῆς πόλεως εἶναι την πολιτείαν **καθ' ἣν** τὴν δημοκρατίαν καὶ την ισονομίαν φυλάττομεν. **7.** Ἔστιν **ὅτε** και οἱ ἀνδρεῖοι στρατιῶται φεύγοντες τυγχανουσιν. **8.** Ἔστιν **οἷς** ἡ τῶν νεανιῶν παιδεία οὐκ αναγκαία ἐστίν, αλλὰ οἱ ἄνθρωποι τὸν βίον διάγουσιν αμαθεῖς καὶ ἄγροικοι. **9.** Οὐκ ἔστιν **ὃς** οὐκ ἠσχυνετο ἐφ' **οἷς** ἐκεῖνοι ἐποίουν καὶ **ὧν** αἴτιοι ἦσαν. **10.** Πάντες οι περὶ τὸν βασιλέα φίλοι καὶ συντραπεζοι αποθνῄσκουσι μαχόμενοι ὑπὲρ αὐτοῦ πλὴν Ἀριαιου οὗτος φευγει ἔχων και το στράτευμα πᾶν, **οὗ** ηγεῖτο **11.** Ἀλλὰ μὴν κἀκεῖνο φανερόν, ὅτι πάντες ἄνθρωποι τούτων πλείστην μνείαν ἔχουσιν ὑφ' **ὧν** ἐν ταῖς συμφοραῖς εὖ πασχουσιν. **12.** Τηνδε μὲν πολιτείαν ἐν **ᾗ** καὶ νῦν πολιτευόμεθα καλεῖ ὁ μὲν δημοκρατίαν ὁ δὲ ἄλλῳ ὀνόματι, **ᾧ** χαίρει, ἐστὶ δὲ τῇ ἀληθείᾳ μετ' εὐδοξίας πλήθους

ἀριστοκρατία. **13.** Ὁ Τισσαφέρνης ἀντὶ τοῦ εἰρήνην πράττειν στράτευμα πολὺ πρὸς τούτῳ **ὃ** πρόσθεν εἶχε παρὰ τοῦ βασιλέως μετεπέμπετο.

ESERCIZIO
Prolessi del relativo

37. Analizza e traduci le seguenti frasi, in cui sono evidenziate le forme dei pronomi relativi e dimostrativi.

1. Ἃ δὲ σὺ παρανομεῖς, **αὐτὰ ταῦτά** μοι μέγιστα μαρτύριά ἐστιν. **2. Οὓς** ὁρᾶτε, πάντες **οὗτοι** βάρβαροι πολεμιώτεροι ἡμῖν εἰσι τῶν παρὰ βασιλεῖ ὄντων. **3.** Ἃ ποιεῖν αἰσχρόν, **ταῦτα** νόμιζε μηδὲ λέγειν εἶναι καλόν. **4. Οὓς** τοῦ δικαστήριου ἐξερχομένους ὁρῶμεν, **οὗτοι** οἱ καταδικαζόμενοι θάνατόν εἰσιν. **5.** Ὁ Δερκυλίδας ἐξερχόμενος **οὓς** ηὗρισκεν ἐπὶ ταῖς θύραις τῶν ταξιάρχων καὶ λοχαγῶν, ἔλεγε ταῦτα **τούτοις**. **6.** Περὶ **ὧν** αἰσχύνη παρρησιαζειν, βουλη μὲν **ταῦτα** τοῖς φίλοις ἀνακοινοῦσθαι

ESERCIZIO
Assorbimento dell'antecedente

38. Analizza e traduci le seguenti frasi, in cui sono evidenziate le forme dei pronomi relativi.

1. Καλὸν τὸ θνῃσκειν **οἷς** ὕβριν τὸ ζῆν φέρει **2.** Ἄκουε πάντων, ἐκλέγου δ' **ἃ** συμφέρει **3.** Ἐγὼ δέ, ὦ Κῦρε, καὶ **ὧν** ἐγὼ κρατῶ μένομεν παρά σοι **4.** Ἐν ταῖς τῶν συμμάχων πόλεσιν ἐλείπομεν **οὓς** ἐωρῶμεν οὐκ ἔτι ἱκανοὺς ὄντας πορεύεσθαι **5.** Ὁρῶν τὴν Ἑλλάδα πολέμων καὶ στάσεων μεστὴν οὖσαν, Ἡρακλῆς παυει ταῦτα καὶ δείκνυσι τοῖς ἐπιγιγνομένοις μεθ' **ὧν** χρὴ καὶ πρὸς **οὓς** δεῖ τοὺς πολέμους ἐκφέρειν. **6.** Δεῖ τοὺς ἀγαθοὺς ἄνδρας δυνατοὺς εἶναι ἐγχειρεῖν μὲν αιεὶ τοῖς καλοῖς πράγμασι, φέρειν δὲ γενναίως **ἃ** ὁ θεὸς αὐτοῖς δίδωσι. **7.** Αἱ ὧραι ἡμῖν οὐ μόνον **ὧν** δεόμεθα πολλὰ καὶ παντοῖα παρασκευάζουσιν, ἀλλὰ καὶ **οἷς** εὐφραινόμεθα **8.** Ὁποτε δὲ ψεγόντων ἢ επαινοῦντων ἀνδρῶν ἤκουε, ἔλεγεν ὁ Ἀγησίλαος δεῖν καταμανθάνειν τοὺς τῶν λεγόντων τρόπους οὐχ ἧττον περὶ **ὧν** ἔλεγον **9.** Ὁ μὲν δειλὸς καὶ **ἃ** μὴ δεῖ φοβεῖται, ο δὲ θρασὺς καὶ **ἃ** μὴ δεῖ θαρρεῖ. **10. Οἷς** δὲ ἐπετύγχανον, τελευταίους τῶν Ἑλλήνων καταβαινόντων πρὸς εσπέραν εἰς τὰς κώμας ἀπὸ τοῦ ἄκρου, οἱ Καρδοῦχοι ἐπετιθεντο καὶ πολλοὺς ἀπεκτεινον καὶ λίθοις καὶ τοξευμασι.

ESERCIZIO
Attrazione diretta e inversa

39. Analizza e traduci le seguenti frasi, in cui sono evidenziate le forme dei pronomi relativi.

1. Τὴν πόλιν **ἣν** ὁρῶ ὑμετέρα ἐστίν. **2.** Ὧν ἐντυγχάνω πολὺ μάλιστα ἄγαμαί σε. **3.** Λακεδαιμόνιοι **ὧν** δέονται πάντων πράσσουσι **4.** Αὐτῷ τῷ Ξενοφῶντι ἀνακοινοῦντι τῷ θεῷ ὁ Ἀπόλλων ἀνῆρει θεοῖς **οἷς** ἔδει θύειν **5.** Τὸν δόκιμον ἄνδρα μὴ μόνον κρῖνε ἐξ **ὧν** πράττει, ἀλλὰ καὶ ἐξ **ὧν** βούλεται. **6.** Μὴ οιμώζου, ὅπως σὺ ἄξιος δοκῆς εἶναι **ὧν** οἱ θεοί σοι διδοασιν ἀγαθῶν **7.** Εἰς δε **ἣν** ἀφικνοῦντο κωμην, μεγάλη ἦν καὶ ἐπὶ ταῖς πλείσταις οἰκίαις τύρσεις ἐπῆσαν ἐπιτήδεια δ' ἦν δαψιλῆ. **8.** Αὐτὸς ὁ Καλλικρατίδας πρὸς **αἷς** παρα Λυσάνδρου ἐλαμβανε ναυσι, προσεπληρου ἐκ Χίου καὶ Ῥόδου καὶ ἄλλοθεν ἀπὸ τῶν συμμάχων πεντήκοντα ναῦς. **9.** Ἄκουε τοὺς τῶν ἀνθρώπων λόγους καὶ ἐξ **ὧν** λέγουσιν πειρᾶς γνωρίζειν ὁποῖοί εἰσι οἱ λέγοντες.

VERSIONE
Difficoltà

171 Argonauti e Dolioni

Gli Argonauti sono accolti dai Dolioni e dal loro re, Cizico. Successivamente però un tragico equivoco è causa della rovina dei Dolioni e del loro sovrano

Ἀπὸ Λήμνου οἱ Ἀργοναῦται δὲ προσισχουσι Δολίοσιν, ὧν ἐβασιλευε Κύζικος. Οὗτος αὐτοὺς ὑπεδέχετο φιλοφρόνως. Νυκτὸς δὲ ἀναγόμενοι ἐντεῦθεν καὶ περιπίπτοντες ἀντιπνοίαις, ἀγνοοῦντες πάλιν τοῖς Δολίοσι προσίσχουσιν. Οἱ δὲ νομίζοντες Πελασγικὸν εἶναι στρατόν (ἐτύγχανον γὰρ ὑπὸ Πελασγῶν συνεχῶς πολεμούμενοι) μάχην τῆς νυκτὸς συναπτουσιν ἀγνοοῦντες πρὸς ἀγνοοῦντας. Κτειναντες δε πολλους οἱ Ἀργοναῦται, μεθ' ὧν καὶ Κύζικον, μεθ' ἡμέραν, ἐπεὶ συνιᾶσι, ἀποδυρόμενοι τάς τε κόμας κείρονται καὶ τὸν Κύζικον πολυτελῶς θάπτουσι. Καὶ μετὰ τὴν ταφὴν πλέοντες Μυσίᾳ προσίσχουσιν

da Apollodoro

LAVORIAMO SULLE **COMPETENZE**

Competenze linguistiche

a. Individua i pronomi presenti nel brano e analizzali.

b. Sottolinea le subordinate relative e per ciascuna di esse indica l'antecedente, implicito o esplicito, nella reggente.

c. τῆς νυκτός (r. 4): come si spiega questo genitivo?

Competenze lessicali

d. ἀγνοοῦντες (r. 5) sai indicare due antonimi del verbo?

e. Rintraccia i termini relativi alla navigazione presenti nel brano.

f. Quale toponimo è presente nel testo?

Comprensione

g. In che cosa consiste l'equivoco su cui si basa l'episodio presentato?

h. Οἱ δέ (r. 3) a chi si riferisce la locuzione? Motiva la tua risposta con espliciti rimandi al testo.

i. Rifletti sull'espressione τάς τε κόμας κείρονται (r. 6): a tuo avviso, che significato ha questo gesto?

VERSIONE

Difficoltà

172 La condanna di Socrate è sommamente ingiusta

Anche dal punto di vista giuridico la condanna di Socrate è un assurdo: egli non fu in alcun modo colpevole di nessuno dei reati per cui il diritto attico prevedeva la pena di morte, né mai arrecò danno alla città o a qualcuno dei cittadini. L'unica sua colpa era quella di esortare con le parole e l'esempio al rispetto degli dèi e alla virtù, doti civiche per eccellenza.

Ἐμοὶ μὲν δὴ Σωκράτης τοιοῦτος ὢν ἐδόκει τιμῆς ἄξιος εἶναι τῇ πόλει μᾶλλον ἢ θανάτου. Κατὰ γὰρ τοὺς νόμους, ὃς φανερὸς γίγνεται κλέπτων ἢ λωποδυτῶν ἢ βαλλαντιοτομῶν ἢ τοιχωρυχῶν ἢ ἀνδραποδιζόμενος ἢ ἱεροσυλῶν, τούτῳ θάνατός ἐστιν ἡ ζημία· ὧν ἐκεῖνος πάντων ἀνθρώπων πλεῖστον ἀπεῖχεν. Ἀλλὰ μην τῇ πόλει γε οὔτε στάσεως οὔτε προδοσίας οὔτε ἄλλου κακοῦ πώποτε αἴτιος ἐγίγνετο· οὐδέποτε μὴν ἰδίᾳ γε ἄλλον πολίτην οὔτε ἀγαθῶν ἀπεστέρει οὔτε κακοῖς περιέβαλλεν.

Οὐκ ἔνοχος ἦν τῇ γραφῇ ὃς μὲν τοῦ μὴ νομίζειν θεοὺς φανερὸς ἦν θεραπεύων τοὺς θεοὺς μάλιστα τῶν ἄλλων ἀνθρώπων, ἀντὶ δὲ τοῦ διαφθείρειν τοὺς νέους, ὃ δὴ ὁ Ἄνυτος αὐτὸν ἠτιᾶτο, φανερὸς ἦν τῆς δὲ καλλιστης καὶ μεγαλοπρεπεστάτης ἀρετῆς, ᾗ πόλεις τε καὶ οἶκοι εὖ οἰκοῦνται, τοὺς συνόντας προτρέπων ἐπιθυμεῖν.

da Senofonte

VERSIONE

Difficoltà

173 Autoritratto di Alessandro Magno

Alessandro, ormai nel regno dei morti, racconta al giudice degli Inferi Minosse gli episodi salienti della propria vita: con tutto quello che fece, non c'è da stupirsi se gli uomini lo ritennero un dio!

Νέος ἔτι ὢν παρηρχόμην ἐπὶ τὴν ἀρχην, ἡ τότε ἐν μεγάλῃ ταραχῇ ἐγίγνετο, καὶ τοὺς φονέας τοῦ ἐμοῦ πατρος ἐκόλαζον. Μετὰ δὲ ταῦτα, τοὺς Ἕλληνας τῇ Θηβαίων ἀπωλείᾳ ἐφόβουν καὶ στρατηγὸς ὑπ᾽ αὐτῶν ἐχειροτονούμην. Ἐπειδὴ οὐκ ἠξίουν ἄρχειν ὅσων ὁ πατὴρ κατελιπεν ("aveva lasciato"), ἀλλὰ πᾶσαν ἐπενόουν τὴν γῆν, ὀλίγους ἄγων εισέβαλλον εἰς τὴν Ἀσίαν, καὶ ἐπί τε Γρανικῷ ἐκράτουν μεγάλῃ μάχῃ. Τὴν Λυδίαν καὶ

τὴν Ἰωνιαν καὶ τὴν Φρυγίαν καὶ ὅλως ὅσα ἔθελον ἀεὶ χειρούμενος ἦλθον ("giunsi") ἐπὶ Ἰσσόν. ἔνθα Δαρεῖός με ὑπέμεινε μυριάδας πολλὰς στρατιωτῶν ἄγων. Ἐν ταύτῃ τῇ ἡμέρᾳ οὕτω μέγας ἦν ὁ φόνος τῶν πολεμίων, ὥστε λέγει ὁ τῶν νεκρῶν πορθμεὺς μὴ διαρκεῖν αὐτοῖς τότε τὸ σκαφος Καὶ ταῦτα διέπραττον αὐτὸς προκινδυνεύων καὶ τιτρώσκεσθαι ἀξιῶν καὶ οὐ βούλομαί σοι τὰ ἐν Τύρῳ οὔτε τὰ ἐν Ἀρβήλοις διηγεῖσθαι, ἀλλά σοι λέγω ὅτι μέχρι Ἰνδῶν ηρχόμην και τον Ὠκεανὸν ὅρον εποιούμην τῆς ἐμαυτοῦ ἀρχῆς καὶ τοὺς ελέφαντας συνελάμβανον, καὶ Σκύθας, οἳ οὐκ εὐκαταφρόνητοι ἄνδρες εἰσίν, ἑνίκων μεγάλῃ ἱππομαχίᾳ, καὶ τοὺς φίλους εὖ ἐποίουν καὶ τοὺς ἐχθροὺς ἠμυνόμην Οὐ θαυμάζω ὅτι θεὸς ἐδόκουν τοῖς ἀνθρωποις, ἐπεὶ ἐκεῖνοι ἐγίγνωσκον τὸ μεγεθος ὧν ἐποίουν.

da Luciano

LAVORIAMO SULLE **COMPETENZE**

Competenze linguistiche

a. Individua i pronomi presenti nel brano e analizzali.

b. Individua le frasi relative e per ciascuna di esse indica l'antecedente, implicito o esplicito, nella reggente.

c. Individua la tipologia delle proposizioni subordinate esplicite presenti nel brano e cerchia le preposizioni che lo introducono.

Competenze lessicali

d. Individua tutti i termini riconducibili al lessico militare

e. Rintraccia tutti i toponimi presenti nel testo.

Comprensione

f. Rifletti sull'affermazione λέγει ὁ τῶν νεκρῶν πορθμεὺς μὴ διαρκεῖν αὐτοῖς τότε τὸ σκάφος (rr. 8-9): qual è a tuo avviso il suo significato?

g. Considera la frase finale del brano: come definiresti il tono con cui Alessandro racconta delle sue imprese?

PAROLE IN PRIMO PIANO

Il verbo γίγνομαι

Il verbo γίγνομαι, che si collega al tema apofonico γεν-/γον-/γν-, è impiegato in cinque distinte accezioni

1. **nascere** (di persona; con genit. di origine, anche preceduto da ἀπο o da ἐκ), **sorgere, prodursi, apparire** (di cosa);

   Δαρείου καὶ Παρυσάτιδος **γίγνονται** παῖδες δύο
   Da Dario e da Parisatide **nascono** due figli.

   Ἡ ἡμέρα **γίγνεται**.
   Si fa giorno.

   Γίγνεται χειμών.
   Viene l'inverno.

2. **essere, esserci** (come alternativo a εἰμί);

   Ἐν τῷ στρατοπέδῳ πολλοὶ στρατιῶται **γίγνονται**.
   Nell'accampamento **ci sono** molti soldati.

Ὁ Σωκράτης πένης **ἐγίγνετο**.
Socrate **era** povero.

Τῷ Κίμωνι πολλὰ χρήματα **ἐγίγνοντο**.
Cimone **aveva** molte ricchezze.

3. andare, procedere (con avv e dativo di vantaggio/svantaggio),

Τοῖς Λακεδαιμονίοις πάντα κακῶς **ἐγίγνοντο**.
Per gli Spartani **andava** tutto male.

4. accadere (con ἐκ, παρά o ὑπό + genit. = ad opera di);

Ἃ ἐν ταῖς Ἀθήναις **γίγνεται** πάντα γιγνώσκομεν
Sappiamo tutto quello che **accade** ad Atene.

Τὸ γιγνόμενον τοὺς πολίτας φοβεῖ
Il fatto (= Ciò che accade) atterrisce i cittadini.

N.B. γίγνεται + inf., acc. e inf. o ὥστε + acc. e inf. = accade che.

Γίγνεται (ὥστε) τὸν βασιλέα γεωργῶ **ἐντυγχάνειν**.
Accade che il re **s'imbatta** in un contadino

Ἐκείνῳ τῷ ἀνθρώπῳ **γίγνεται** μεγίστην ἀρχὴν **λαγχάνειν**
Capita a quell'uomo **di ottenere** per sorteggio una carica importantissima.

5. diventare.

Μετὰ ταῦτα ὁ Οἰδίπους τῶν Θηβῶν βασιλεὺς **γίγνεται**.
Dopo ciò Edipo **diventa** re di Tebe.

N.B. Con il genitivo assume il significato di "diventare membro di, uno tra".

Ὁ Μενέξενος **τῆς βουλῆς γίγνεται**.
Menesseno **diventa membro del consiglio**.

Ὁ Ἀλκιβιάδης **τῶν στρατηγῶν γίγνεται**.
Alcibiade **diventa uno degli strateghi**.

ESERCIZIO
Fraseologia con γίγνομαι

40. **Cerca sul vocabolario e trascrivi il significato delle seguenti espressioni.**

1. γίγνεσθαι πρός + dat. =
2. ἅμα τῇ ἕῳ γιγνομένῃ =
3. γίγνεσθαι ἐπί / ὑπό + dat. =
4. γίγνεσθαι μετά + genit. (o σύν + dat.) =
5. ἐν καιρῷ γίγνεσθαι =
6. ἐν ἑαυτῷ γίγνεσθαι =

ESERCIZIO
Il verbo γίγνομαι

41. **Traduci le seguenti frasi.**

1. Τοῖς Λακεδαιμονίοις ἡ πρὸς τὴν Ἀσίαν στρατιὰ εὖ γίγνεται. **2.** Γιγνώσκοντες τοὺς Ἀθηναίους μετὰ τῶν Ῥοδίων γίγνεσθαι, οἱ Λακεδαιμόνιοι εἰς τὴν πατρίδα ἀνεχώρουν **3.** Ἐγίγνετο ὥστε τὸν στρατηγὸν ἐν τῇ μάχῃ τιτρώσκεσθαι **4.** Ὁ Περικλῆς ἀπὸ γενναίων γονέων γίγνεται. **5.** Σφοδρᾶς θυέλλης γιγνομένης αἱ τῶν Ἀθηναίων νῆες πρὸς τὴν νῆσον προσορμίζονται. **6.** Ὁ Ὅμηρος τὰ ἐξ ἀνθρώπων γιγνόμενα ᾄδει. **7.** Τοῖς συμμάχοις ὅπλα ἱκανὰ οὐκ ἐγίγνετο **8.** Ὁ Ἡρόδοτος τὴν ἱστορίαν γράφει ἵνα τὰ τῶν ἀρχαίων ἀνθρώπων ἔργα ἐξίτηλα μὴ γίγνηται.

TRADUCI SENZA VOCABOLARIO

Leggi con attenzione il brano e tenta di comprenderne il significato generale senza l'aiuto del vocabolario. Aiutati con le note esplicative in cui sono mostrati termini derivati da quelli presenti nel testo (< o >), sinonimi (=), contrari (≠), parole di significato simile (≃). Infine, rispondi alle domande di comprensione.

VERSIONE

Difficoltà

174 Atteone e i suoi cani

Il cacciatore Atteone provoca l'ira degli dèi, viene trasformato in cervo ed è divorato dalla sua stessa muta di cani da caccia.

Αὐτονόης δὲ καὶ Ἀριστάιου παῖς[1] Ἀκταίων ἐγίγνετο[2], ὃς τρεφόμενος[3] παρὰ Χείρωνι κυνηγὸς[4] ἐδιδάσκετο[5]. καὶ ἔπειτα[6] ὕστερον[7] ἐν τῷ Κιθαιρῶνι κατεβιβρώσκετο[8] ὑπὸ τῶν ἰδίων[9] κυνῶν[10]. Καὶ τοῦτον ἐτελεύτα[11] τὸν τρόπον, ὡς[12] μὲν Ἀκουσίλαος λέγει[13], ἐπεὶ ἐμήνιε[14] ὁ Ζεὺς ὅτι ἐμνηστεύετο[15] Σεμέλην, ὡς δὲ οἱ πλείονες[16], ὅτι τὴν Ἄρτεμιν λουομένην[17] ἑώρα[18]. Καὶ ἡ θεὸς[19] παραχρῆμα[20] αὐτοῦ τὴν μορφὴν[21] εἰς ἔλαφον[22] ἤλλαξε[23], καὶ τοῖς ἑπομένοις[24] αὐτῷ κυσὶν ἐνέβαλλε[25] λύσσαν[26], ὑφ' ὧν κατὰ ἄγνοιαν[27] ἐβιβρώσκετο[28]. Ὡς δὲ Ἀκταιων ἐτελεύτα, οἱ κύνες ἐπιζητοῦντες[29] τὸν δεσπότην[30] ὑλάκτουν[31], καὶ ζήτησιν[32] ποιούμενοι[33] παρεγίγνοντο[34] ἐπὶ τὸ τοῦ Χείρωνος ἄντρον[35], ὃς εἴδωλον[36] κατεσκευάζετο[37] Ἀκταίωνος, ὃ καὶ τὴν λύπην[38] αὐτῶν ἔπαυε[39].

da Apollodoro

1. παῖς = υἱός, τέκνον.
2. γίγνομαι = vedi scheda "Parole in primo piano", p. 525.
3. τρέφω > it. "-trofio" in "orfanotrofio".
4. κυνηγός < κύων + ἄγω.
5. διδάσκω > it. "didattica".
6. ἔπειτα ≃ lat. *deinde*.
7. ὕστερον ≃ lat. *postea*.
8. καταβιβρώσκω ≃ κατεσθίω.
9. ἴδιος ≠ κοινός, δημόσιος, ἀλλότριος.
10. κύων = lat. *canis*.
11. τελευτάω = ἀποθνήσκω.
12. ὡς = ὥσπερ.
13. λεγω = φημι.
14. μηνίω < μῆνις, "ira", "collera".
15. μνηστεύω < μνηστήρ "pretendente", "corteggiatore".
16. πλείων = compar. di πολύς.
17. λούω ≃ lat. *lavo*.
18. ὁράω ≃ βλέπω, θεάομαι, λευσσω, ὄσσομαι, δέρκομαι.
19. ἡ θεός = θεά.
20. παραχρῆμα ≠ ὕστερον.
21. μορφή > it. "morfo-" in "morfologia".
22. ἔλαφος = lat. *cervus*.
23. ἀλλάσσω < ἄλλος.
24. ἕπομαι = lat. *sequor*.
25. ἐμβάλλω < ἐν + βάλλω.
26. λύσσα ≃ ὀργή, μῆνις.
27. ἄγνοια < ἀγνοέω (α- priv. + γιγνώσκω).
28. βιβρώσκω ≃ ἐσθίω.
29. ἐπιζητέω < ἐπί + ζητέω "cercare".
30. δεσπότης ≠ δοῦλος.
31. ὑλακτέω ≃ lat. *ululo, latro*.
32. ζήτησις < ζητέω.
33. ποιέω = πράσσω, δράω, ἔρδω.
34. παραγίγνομαι < παρά + γίγνομαι (vedi scheda "Parole in primo piano", p. 525).
35. ἄντρον = σπήλαιον.
36. εἴδωλον ≃ lat. *simulacrum*.
37. κατασκευάζω < κατασκευή "preparazione".
38. λύπη ≠ ἡδονή.
39. παύω ≠ ἄρχω.

1. Chirone è il padre di Atteone, Autonoe è sua madre — V F
2. Secondo Acusilao, Atteone viene punito perché guarda Atena mentre fa il bagno. — V F
3. I cani divorano Atteone sotto forma di cervo. — V F
4. Chirone consola il dolore della muta di cani di Atteone — V F

VERSIONE

Difficoltà

175 Il generale Leostene

Il generale Leostene guidò i Greci nella rivolta contro la Macedonia, scoppiata dopo la morte di Alessandro, e riuscì a bloccare il nemico Antipatro nella fortezza di Lamia, in Tessaglia.

Λεωσθένης γὰρ ὁρῶν τὴν Ἑλλάδα πᾶσαν ταπεινουμένην καὶ καταφθειρομένην ὑπὸ τῶν δωροδοκούντων παρὰ Φιλίππου καὶ Ἀλεξάνδρου κατὰ τῶν πατρίδων τῶν αὐτῶν, καὶ τὴν μὲν πόλιν ἡμῶν δεομένην ἀνδρός, τὴν δ' Ἑλλάδα πᾶσαν πόλεως, ἣ προίστασθαι δύναται τῆς ἡγεμονίας, ἐπεδίδου ἑαυτὸν μὲν τῇ πατρίδι, τὴν δὲ πόλιν τοῖς Ἕλλησιν εἰς τὴν ἐλευθερίαν καὶ ξενικὴν μεν **δύναμιν** συνιστάμενος, τῆς δε **πολιτικῆς ἡγεμὼν** καθιστάμενος, τοὺς πρώτους ἀντιτασσομένους τῇ τῶν Ἑλλήνων ἐλευθερίᾳ Βοιωτοὺς καὶ Μακεδονας καὶ Εὐβοέας καὶ τους ἄλλους συμμαχους αὐτῶν ἑνίκα μαχόμενος ἐν τῇ Βοιωτίᾳ Ἐντεῦθεν δ' ἐρχόμενος εις Πυλας και καταλαμβάνων τας **παρόδους**, δι' ὧν καὶ πρότερον ἐπὶ τοὺς Ἕλληνας οἱ βάρβαροι ἐπορευοντο, τῆς μὲν ἐπὶ τὴν Ἑλλάδα **πορείας** Ἀντίπατρον ἐκώλυεν, αὐτὸν δὲ καταλαμβανων ἐν τοῖς τόποις τούτοις καὶ μαχῃ νικῶν, ἐπολιόρκει κατακλείων εἰς Λαμίαν.

da Iperide

LE **PAROLE** E IL LORO **CONTESTO**

Nella tabella sottostante trovi le parole evidenziate nel testo di Iperide. Ponendole in rapporto con il contesto, completa la tabella scrivendo il traducente adatto o motiva quello proposto.

Vocabolo greco	Traducente	Contesto semantico
δύναμιν		L'idea di base che esprime il termine è quella di "potenza": tenendo conto di ciò, scegli un traducente adeguato al contesto bellico.
πολιτικῆς		Scegli la corretta traduzione del termine considerando che va riferito a un nome presente nel discorso e che è in opposizione con un altro vocabolo.
ἡγεμὼν	"capo", "comandante"	
παρόδους		Il termine può essere impiegato in diversi contesti, tra cui anche quello teatrale. Trova l'accezione giusta per questo passo.
πορείας		Scegli una giusta traduzione del vocabolo, qui impiegato in un contesto militare.

VERIFICA DI FINE UNITÀ

ESERCIZIO Riconoscimento

1. **Analizza le seguenti forme pronominali indicando per ciascuna caso, genere, numero e nominativo singolare, quindi traduci.**

1. τάσδε **2.** αὐτο **3.** αὐτῶ **4.** αὕτη **5.** σοι **6.** τώδε **7.** ἡμῖν **8.** τᾷδε **9.** ταὐτά **10.** τοῦτο **11.** σαυτήν **12.** σφετέρου **13.** σφᾶς **14.** νῷν **15.** ἐκείνου **16.** αἵδε **17.** ταύτης **18.** ἑαυτῇ **19.** ὑμῖν **20.** τῶνδε **21.** ταύτας **22.** ἡμῶν **23.** σοῦ **24.** τοῖνδε **25.** ταὐτό

ESERCIZIO Riconoscimento

2. **Tra le seguenti forme identifica e analizza quelle del pronome relativo.**

1. ἡ **2.** ὁ **3.** ὧν **4.** ἣν **5.** ἥν **6.** ᾗ **7.** ᾧ **8.** ὅν **9.** αἱ **10.** αἵ **11.** ὅν **12.** ᾧ **13.** ᾗ **14.** ἥν **15.** ὅ **16.** ὧν **17.** ἃ **18.** ἥ **19.** ἃ **20.** ᾗ

ESERCIZIO Flessione

3. **Traduci.**

1. del medesimo **2.** a me **3.** a voi stessi **4.** loro (acc m) **5.** delle stesse cose **6.** io in persona **7.** di costei **8.** della vostra **9.** le medesime cose **10.** queste cose (seguenti)

ESERCIZIO Completamento

4. **Scegli, tra quella indicate, la forma corretta di pronome, quindi e traduci.**

1. Τεκνοῖ Γῆ Κύκλωπας ὧν / οἷς ἕκαστος εἶχεν ἕνα ("uno solo") ὀφθαλμὸν ἐπὶ τοῦ μετώπου **2.** Οἱ ἄνθρωποι οὓς οἷς ἡ ἐλευθερία τιμιοτέρα αὐτοῦ τοῦ βίου ἐστίν, οὐ φοβοῦνται τὴν τῶν βαρβάρων προσβολήν **3.** Ἡ Μήδεια τοὺς παῖδας οὓς ὧν εἶχεν ἐξ Ἰάσονος, Μέρμερον καὶ Φέρητα, ἀπέκτεινε. **4.** Ὑφ' οἷς ὧν στεργόμεθα, τούτους ῥᾳδίως στέργομεν. **5.** Ἑρμῆς κλέπτει βόας οἷς / ἃς ἕνεμεν Ἀπόλλων. **6.** Οὗ Ὧν ἅπαντες ἐπιθυμοῦσιν, ταῦτα χαλεπῶς εὑρίσκονται.

ESERCIZIO Usi del relativo

5. **Individua le funzioni del pronome relativo in ciascuna frase, quindi traduci.**

	Prolessi	Attrazione diretta	Attrazione inversa	Assorbimento dell'antecedente
1. Καὶ οὓς μὲν ἔβαλλε Δευκαλίων, ἄνδρες ἐγίγνοντο, οὓς δὲ Πύρρα, γυναῖκες.				
2. Ὃ οὐκ ἔστιν, τοῦτο οὐ διώκουσιν οἱ ἄνθρωποι.				
3. Τὸν δὲ λαβύρινθον, ὃν Δαίδαλος κατεσκεύαζεν, οἴκημα καμπαῖς πολυπλόκοις ἦν.				
4. Χρὴ τοὺς ἄρχοντας κελεύειν ἃ χρήσιμά εἰσι τοῖς πολίταις				
5. Ἃ περὶ τῆς πηρώσεως καὶ τῆς μαντικῆς τοῦ Τειρεσίου λέγεται, διάφορά ἐστι				
6. Ἐπαινῶ πολλὰ ὧν λέγει Σωκράτης.				
7. Ὠκεανοῦ καὶ Τηθύος γίγνεται παῖς Ἴναχος, ἀφ' οὗ ποταμὸς ἐν Ἄργει Ἴναχος καλεῖται.				
8. Πάντες οἱ παῖδες ἐθαύμαζον ἐφ' οἷς ἔπραττον οἱ ἀθληταί				

LA PROSA GRECA

L'omissione e la prolessi del soggetto nelle frasi infinitive

Gli dèi aiutano i forti

Dopo un segno di buon auspicio, Senofonte ricorda ai Greci che in virtù della loro pietas *e del loro valore possono contare sull'aiuto degli dei, anche in una situazione difficile come la loro.*

Ἐτύγχανον λέγων ὅτι πολλαὶ καὶ καλαὶ ἐλπίδες ἡμῖν εἶεν σωτηριας. Πρῶτον μὲν γάρ ἡμεῖς μὲν ἐμπεδοῦμεν τους τῶν θεῶν ὅρκους. οἱ δὲ πολέμιοι επιώρκουν τε καὶ τὰς σπονδας παρὰ τοὺς ὅρκους ἔλυον. Οὕτω δ᾽ ἐχόντων εἰκός ἐστι τοῖς μὲν πολεμίοις ἐναντίους, ἡμῖν δὲ συμμάχους εἶναι τοὺς θεούς, οἵπερ ικανοί εἰσι καὶ τοὺς μεγάλους ταχὺ μικροὺς ποιεῖν καὶ τοὺς μικροὺς καὶ ἐν δεινοῖς σῴζειν εὐπετῶς, ὅτε βούλονται Ἔπειτα δὲ ἀναμιμνήσκω γὰρ ὑμᾶς καὶ τοὺς τῶν προγόνων τῶν ἡμετέρων κινδύνους, ἵνα γιγνώσκητε ὡς **ἀγαθοῖς τε ὑμῖν προσήκει εἶναι** σῴζονταί τε σὺν τοῖς θεοῖς καὶ ἐκ πάνυ δεινῶν οἱ ἀγαθοί.

da Senofonte

Abbiamo studiato che nelle soggettive e nelle oggettive il soggetto si esprime in accusativo e che di conseguenza vanno in accusativo anche gli elementi nominali che al soggetto si riferiscono o i participi a esso congiunti.

Es. Οἱ Ἕλληνες ἔλεγον **τοὺς Πέρσας ἀπίστους** εἶναι.
I Greci dicevano che **i Persiani** erano **infidi**.

Οἱ φύλακες ἀγγέλλουσι **τοὺς πολεμίους** τὰς ναῦς **καθελκύοντας** φεύγειν.
Le sentinelle annunciano che **i nemici** fuggono **calando** in mare le navi.

Questo accade anche quando il soggetto è sottinteso o perché generico (ad esempio in affermazioni di portata generale) o perché facilmente desumibile dal contesto o perché identico al soggetto della reggente.

Es. Καλόν ἐστι ὑπὲρ τῆς πατρίδος ἀποθνῄσκειν.
È bello morire per la patria.

Καλόν ἐστι ὑπὲρ τῆς πατρίδος **μαχομένους** ἀποθνῄσκειν.
È bello morire **combattendo** per la patria.

In quest'ultimo caso, poiché si esprime una considerazione di portata universale, si sottintende un soggetto generico come "i soldati", "i cittadini" o simili, che è facilmente desumibile dal contesto e al quale si può concordare a senso il participio μαχομένους (lett. "È bello che i soldati muoiano mentre combattono per la patria").

Un caso particolare è quello in cui il soggetto di un'infinitiva è attratto proletticamente nella reggente sotto forma di complemento. così si può dire αἰσχρόν ἐστι στρατιώτῃ τὴν τάξιν λείπειν ("è vergognoso per un soldato abbandonare il posto nello schieramento") anziché dire αἰσχρόν ἐστι στρατιώτην τὴν ταξιν λειπειν ("è vergognoso che un soldato lasci il posto nello schieramento").

In questi casi gli elementi nominali o i participi congiunti riferiti al soggetto possono assumere o l'accusativo o il caso che il soggetto anticipato proletticamente presenta nella reggente, come accade nella frase evidenziata del testo di Senofonte

Es. **Τοῦ ἀγαθοῦ στρατηγοῦ** ἐστὶ παράδειγμα ἐκκεῖσθαι **προμαχομένου** (ο προμαχόμενον).
È proprio **del buon generale** essere d'esempio **combattendo in prima fila**.

Οὐ πρέπει **τῷ βασιλεῖ** σώζεσθαι **φεύγοντι** (ο φεύγοντα).
Non si addice **al re** salvarsi **fuggendo**.

ESERCIZIO Forma nominale e participio

1. Confrontando il testo greco con la traduzione italiana, completa le seguenti frasi con la forma nominale o con il participio.

Es. Il comandante impedisce che i soldati fuggano gettando le armi.
Ὁ στρατηγὸς κωλύει τοὺς στρατιώτας φεύγειν τὰ ὅπλα (ἀφίεις)
Ὁ στρατηγος κωλύει τοὺς στρατιώτας φεύγειν τὰ ὅπλα ἀφίεντας.

1. È giusto che voi votiate volentieri.
Δίκαιόν ἐστιν ὑμᾶς τὴν ψῆφον φέρειν (πρόθυμος).
2. Non si addice ai giovani che ricercano la verità raccontare storie.
Οὐ πρέπει τοῖς νεανιαις την ἀλήθειαν (ζητέω) μύθους λέγειν.
3. Vi chiedo di votare ciò che è giusto ricordandovi di ciò
Δέομαι οὖν ὑμῶν τὰ δικαια ψηφίζεσθαι τούτου (μιμνήσκω).
4. Ordino che tu attacchi battaglia attraversando il fiume.
Κελεύω σε τῆς μάχης ἅπτεσθαι τὸν ποταμόν (διαβαίνω).
5. È turpe per un filosofo non dire la verità per paura del tiranno.
Αἰσχρόν ἐστι φιλοσοφῳ τἀληθῆ μὴ λέγειν τὸν τύραννον (φοβέομαι)
6. È proprio di un buon re essere clemente.
Ἀγαθοῦ βασιλέως ἐστὶ ..... (ἐπιεικής) εἶναι.
7. È necessario che un buon re sia clemente.
Δεῖ ἀγαθὸν βασιλέα (ἐπιεικής) εἶναι
8. Si addice a un buon re essere clemente.
Προσήκει ἀγαθῷ βασιλεῖ (ἐπιεικής) εἶναι.
9. Ti chiedo di salvarti fuggendo.
Δέομαι σοῦ σώζεσθαι (φεύγω).

ESERCIZIO Prolessi

2. Trasforma le seguenti frasi anticipando proletticamente il soggetto delle infinitive nella reggente.

Es. Δεῖ τοὺς στρατιώτας ἀνδρείους εἶναι.
Τῶν στρατιωτῶν ἐστὶ ἀνδρείους εἶναι.
Τῶν στρατιωτῶν ἐστὶ ἀνδρείων εἶναι

1. Πρέπει ἡμᾶς συμμάχους εἶναι τῶν Ἀθηναίων.
2. Δίκαιόν ἐστι ἡμᾶς τοῦ διδασκάλου σιωπῶντας ἀκούειν.
3. Δέομαι και τοὺς πρεσβυτέρους τῇ πόλει αμύνειν μαχομένους.
4. Προσήκει καὶ τους πρεσβυτερους τῇ πόλει ἀμυνειν μαχομένους.
5. Οὐ δεῖ τὸν ἐσθλὸν στρατηγὸν δόλῳ χρώμενον νικᾶν.
6. Οὐ δεῖ τὸν σοφον τῇ τοῦ πλήθους δόξῃ τὸν νοῦν προσέχοντα τὸν βίον διάγειν
7. Οὐ πρέπει τὸν σοφὸν τῇ τοῦ πλήθους δόξῃ τὸν νοῦν προσέχοντα τὸν βίον διάγειν

I pronomi
(seconda parte)

GRAMMATICA

1 I pronomi interrogativi
2 Le proposizioni interrogative
3 I pronomi indefiniti e il pronome reciproco
4 L'uso di ἄν con il congiuntivo e l'ottativo
5 I pronomi relativi indefiniti e interrogativi indiretti
6 I pronomi e gli avverbi correlativi

LESSICO

... sotto
Lessico tematico Parti del corpo, p. 533
PAROLE IN PRIMO PIANO
Il verbo ἔχω, p. 541
TRADUCI SENZA VOCABOLARIO, p. 554
Lessico frequente 37, p. 556

COMPETENZE

Versioni pp. 540, 543 544, 548-550 553-555, 560-561
Il laboratorio delle competenze, pp. 576-577
Verso l'Esame di Stato, pp. 578-579
Versioni di repertorio, pp. 580-583

1 I pronomi interrogativi

Grammatica cap. 20, parr. 1.1-1.2 ▶ pp. 137-138

Lessico frequente 36

Sostantivi

ἄγνοια, -ας, ἡ = stoltezza
ἀργύριον, -ου, τό = denaro, argento
γνώμη, -ης, ἡ = ragione, buonsenso, opinione
διάνοια, -ας, ἡ = intelligenza; proposito
ἐπιστολή, -ῆς, ἡ = lettera, missiva
ἐρημία, -ας, ἡ = deserto
ναός, -οῦ, ὁ = tempio
πρόσωπον, -ου, τό = volto; cospetto, presenza
συγγνώμη, -ης, ἡ = perdono

Verbi

ἀγνοέω = non sapere, non capire
ἁμαρτάνω = commettere un errore, fallire; peccare
ἀπορέω = essere bisognoso, mancare di (+ gen.), essere incerto, non sapere
διανοέω = avere in mente, proporsi; pensare, riflettere
σκέπτομαι / σκοπέω = osservare, esaminare; considerare, esaminare con la mente, ponderare
συγγιγνώσκω = comprendere, perdonare, essere d'accordo
σφάλλω = abbattere, mandare in rovina; σφάλλομαι = subire un insuccesso, finire in rovina
φροντίζω = pensare, considerare, ponderare (+ acc.); darsi pensiero, preoccuparsi, curarsi di (+ acc. o gen.)

Lessico tematico — Parti del corpo

βραχίων, -ονος, ὁ = braccio
δάκτυλος, -ου, ὁ = dito
καρδία, -ας, ἡ = cuore
ὄνυξ, -υχος, ὁ = unghia
πῆχυς, -εως, ὁ = avambraccio
σῶμα, -ατος, τό = corpo
στῆθος, -ους, τό = petto
τράχηλος, -ου, ὁ = collo
χειρ, χειρός, ἡ = mano

RAGIONA CON IL LESSICO

ESERCIZIO
Lessico corradicale

1. Risolvi le seguenti proporzioni, quindi traducile in italiano.

a. ἀπορία : x = ἐπιθυμία : ἐπιθυμέω — x =
Trad. ___ : ___ = ___

b. τάσσω : ἐπίταγμα = στέλλω : x — x =
Trad. ___ : ___ = ___

c. ὁράω : ἔφορος = x : ἐπίσκοπος — x =
Trad. ___ : ___ = ___

d. x : θεός = οἰκία : ἄνθρωπος — x =
Trad. ___ : ___ = ___

e. ἀληθής : λανθάνω = ἀσφαλής : x — x =
Trad. ___ : ___ = ___ : ___

f. x : γιγνώσκω = συγγνώμη : συγγιγνώσκω — x =
Trad. ___ : ___ = ___

g. χαλκός : χαλκοῦς = x : ἀργυροῦς — x =
Trad. ___ : ___ = ___

h. x : διανοέω = ἄγνοια : ἀγνοέω — x =
Trad. ___ : ___ = ___

▶ Veduta del sito archeologico di Paestum.

ESERCIZIO Sinonimi e antonimi

2. **Tra i verbi del** Lessico frequente 36 **indica quali sono tra loro sinonimi e quali antonimi.**

ESERCIZIO Cruciverba

3. **Completa il cruciverba sottostante.**



ORIZZONTALI

1. Chi chiede scusa lo merita (nom. sing.).
3. L'attività della mente (nom. sing.).
5. Commettere errori (infinito attivo).
7. Buonsenso (nom. sing.).
8. La mancanza del 3 orizzontale (nom. sing.).
10. Né vostre né loro (nom. neutro pl.).
12. Prendersi cura, preoccuparsi (infinito attivo).
13. Moglie e sorella di Zeus (nom. sing.).
14. Vale meno dell'oro, ma più del ferro (nom. sing.).
15. Possono essere coperti da una maschera (nom. pl.).

VERTICALI

1. Mandare in rovina (1ª pers. sing.).
2. Solitamente è correlato a un δέ.
4. Deriva dall'8 orizzontale (infinito attivo).
6. Quelle attribuite a San Paolo sono quattordici (nom. plur.).
9. È un luogo di culto.
11. Il più famoso è quello del Sahara (nom. sing.).
12. Il contrario di ἐχθροί.

ESERCIZIO
Lessico tematico

4. **Memorizza la lista di parole contenuta nel Lessico tematico, quindi inserisci opportunamente nell'immagine proposta i termini relativi al lessico delle parti del corpo.**



PREPARATI ALLA TRADUZIONE

I seguenti esercizi ti permettono di verificare se hai imparato a:
riconoscere e declinare i pronomi e gli aggettivi interrogativi;
distinguere i diversi valori dei pronomi e degli aggettivi interrogativi.

ESERCIZIO
Analisi

5. **Analizza i seguenti pronomi / aggettivi interrogativi.**

	Caso	Numero	Genere	Traduzione
1. τίσιν				
2. τί				
3. πόσῃ				
4. πηλίκων				
5. τίνες				
6. πόσοι				
7. ποίους				
8. τοῦ				
9. τινας				
10. ποτέρου				

ESERCIZIO
Riconoscimento

6. **Scegli la forma corretta tra quelle indicate, quindi traduci.**

1. Πόσου Τίνος ἐστὶ ἐπιστολαι αἵδε; **2.** Τῷ Ποίου συγγιγνώσκεις; **3.** Τί / Τίνος σκοπεῖτε, ὦ ἄνδρες, ἐκ τοῖν λόγοιν τοῖν ἀνδροῖν ἑκατέροιν; **4.** Τίς / Τίνος πόλις εὐνομεῖται, τῶν πολιτῶν ἀδίκων ὄντων; **5.** Τίνι Ποτέρῳ τοῖν Ἀτρείδαιν ἡ καλὴ Ἑλένη γυνὴ ἦν, **6.** Ποίαν Ποτέραν γνώμην περὶ τούτων ἔχεις; **7.** Πόσος Ποῖος ὁ ναὸς τοῦ Διὸς ἐν Ὀλυμπίᾳ ἦν, **8.** Τίσι / Τίνοις ῥήμασι ὁ στρατηγὸς ἐχρῆτο, ὡς τοὺς στρατιώτας εἰς τὴν μάχην ἐπιτρέποι; **9.** Ποῖα Ποίας παρὰ τῶν θεῶν εὔχῃ, **10.** Διὰ τί τίνος ταῦτα ἁμαρτάνων διατελεῖς;

ESERCIZIO
Flessione

7. **Completa le seguenti frasi inserendo il pronome indicato nella forma richiesta dal contesto, quindi traduci.**

1. _____ (Τίς) ἀγνοεῖ τάδε; **2.** _____ (Πόσος) ναοὶ ἦσαν ἐν Δελφοῖς; **3.** _____ (Ποῖος) ἀνθρώπους ἀδικωτέρους τῶν τυράννων φροντίζομεν; **4.** _____ (Τίς) εἰσὶν οἱ σοφοί; Ἐν _____ (τί) πράξει καὶ πρὸς _____ (τί) ἔργον δυνατώτατοί εἰσι τοὺς πολίτας ὠφελεῖν. **5.** _____ (Πότερος) αὐτοῖν φίλτερον ἡμῖν ἐστιν; **6.** _____ (Πόσος) τῶν Περσῶν νῆες ἐν Σαλαμῖνι ἐνεπίμπραντο, **7.** Ὦ Ἀτρείδα, Αἴαντος καὶ Ὀδυσσέως περὶ τῶν Ἀχιλλέως ὅπλων ἐριζόντων, _____ (πότερος) αὐτὰ διδόναι δίκαιον οἴει; **8.** _____ (Πηλικος) οὐσῶν τῶν θυγατερων, πρέπον ἐστὶν τοῖς πατράσιν αυτὰς πρὸς γάμον ἐκδιδόναι, **9.** _____ (Τίς) φίλῳ χρώμεθα ἐν τοῖς κακοῖς; **10.** _____ (Πηλίκος) οἱ παῖδες ἐν Σπάρτῃ εἰς τὴν ἀγωγὴν ἐτρέποντο.

ESERCIZIO
DI SINTESI
Lessico frequente e Lessico tematico

8. **Traduci le seguenti frasi senza l'aiuto del vocabolario.**

1. Τάδε μὲν οὖν ἐστι τὰ μέρη.
Τάδε μὲν οὖν ἐστι τὰ μέρη εἰς ἃ διαιρεῖται τὸ σῶμα.
Τάδε μὲν οὖν ἐστι τὰ μέρη εἰς ἃ διαιρεῖται τὸ σῶμα, κεφαλή, τράχηλος.
Τάδε μὲν οὖν ἐστι τὰ μέρη εἰς ἃ διαιρεῖται τὸ σῶμα, κεφαλή, τράχηλος, στῆθος, βραχίονες, σκέλη.

2. Οἱ πίθηκοι χεῖρας ὁμοίους ἀνθρώπῳ ἔχουσι.
Οἱ πίθηκοι χεῖρας καὶ δακτύλους καὶ ὄνυχας ὁμοίους ἀνθρώπῳ ἔχουσι.
Οἱ πίθηκοι χεῖρας καὶ δακτύλους καὶ ὄνυχας ὁμοίους ἀνθρώπῳ ἔχουσι Καὶ τὸ πρόσωπον ἔχει πολλὰς ὁμοιότητας τῷ τοῦ ἀνθρώπου.
Οἱ πίθηκοι χεῖρας καὶ δακτύλους καὶ ὄνυχας ὁμοίους ἀνθρώπῳ ἔχουσι. Καὶ τὸ πρόσωπον καὶ τὸ σῶμα ἔχουσι πολλας ὁμοιότητας τοῖς τοῦ ἀνθρώπου.

3. Πλείστη ἦν ἐρημία.
Πλείστη ἦν ἐρημία ἐν ταῖς ὁδοῖς.
Θέρους δὲ ὄντος πλείστη ἦν ἐρημία ἐν ταῖς ὁδοῖς.
Θερους δὲ ὄντος καὶ μεσημβριας πλείστη ἦν ἐρημία ἐν ταῖς ὁδοῖς

4. Ἡ ἄγνοια ἀμαθία ἐστίν.
Ἡ ἄγνοια ἀμαθία καὶ κακία ἐστίν.
Ἡ μὲν γὰρ γνῶσις σοφία, ἡ δὲ ἄγνοια ἀμαθία καὶ κακία ἐστίν
Ἡ μὲν γὰρ γνῶσις σοφία καὶ ἀρετὴ ἀληθινή, ἡ δὲ ἄγνοια ἀμαθία καὶ κακία.

2 Le proposizioni interrogative

SCHEDA MORFOSINTATTICA

- Le proposizioni interrogative si suddividono in dirette (proposizioni indipendenti) e indirette (proposizioni dipendenti).

▶ Le proposizioni interrogative dirette

- Nelle proposizioni interrogative dirette si utilizzano i tempi e i modi propri delle proposizioni principali. Esse si suddividono in **dirette semplici** e **dirette disgiuntive o doppie**.
- Le proposizioni **interrogative dirette semplici** possono essere introdotte da:

1. un **pronome**, un **aggettivo** o un **avverbio interrogativo** come:
   - **τίς, τί**, chi?, che cosa? (pron.), quale? (agg.)
   - **τίς ποτε, τί ποτε**, chi mai?, cosa mai?
   - **πότερος, -α, -ον**, chi/ cosa tra due?
   - **ποῖος, -α, -ον**, quale?; di quale specie, natura?
   - **πόσος, -η, -ον**, quanto grande?
   - **πηλίκος, -η, -ος**, di quale età?
   - **ποῦ**, dove? (stato in luogo e moto a luogo)
   - **ποῖ**, dove? (moto a luogo)
   - **πόθεν**, da dove?
   - **πῶς**, come?

Τίνα δῶρα ἐπὶ τοῖς βωμοῖς τιθέασι:	**Quali** doni pongono sugli altari?
Ποῦ ἔρχῃ;	**Dove** vai?

2. una **particella interrogativa** come:
   - **ἆρα, ἦ** (cfr. lat. *ne*) introducono una domanda di cui si ignora la risposta;

Ἆρα τἀληθῆ λέγουσιν;	Dicono la verità?

   - **μή, ἆρα μή, μῶν** (cfr. lat. *num*) introducono una **domanda retorica** che presuppone una **risposta negativa**,

Μῶν οἱ κλέπται τἀληθῆ λεγουσιν.	**Forse che** i ladri dicono la verità?

   - **οὐ, ἆρα οὐ, οὔκουν, οὐκοῦν** (cfr. lat. *nonne*) introducono una **domanda retorica** che presuppone una **risposta positiva**

Οὐκοῦν οἱ δίκαιοι τἀληθῆ λέγουσιν; **Forse che** i giusti **non** dicono la verità?	**Non è forse vero che** i giusti dicono la verità?

- Nelle proposizioni **interrogative dirette disgiuntive** il primo elemento può essere introdotto da **πότερον (πότερα)**, **ἆρα** o **μῶν**, il secondo è introdotto sempre da **ἤ** (cfr. lat. *utrum .. an*).

Πότερον εἰς τὴν ἀγορὰν ἔρχῃ **ἢ** οἴκοι μένεις; Vai all'agorà **o** rimani in casa?

- Nelle interrogative dirette il **pronome neutro τί**, oltre a significare "che cosa?", può fungere da **avverbio interrogativo** e assumere dunque il valore di "**perché?**". Non esistono però

precise norme che aiutino a riconoscerne automaticamente funzione e significato: occorre piuttosto effettuare un'attenta analisi del contesto.

Τί ἐστι ἐν τῇ κίστῃ;	Cosa c'è nello scrigno?
Τί βούλῃ;	Cosa vuoi?

In questi due casi τι costituisce rispettivamente il soggetto e l'oggetto del verbo, pertanto non sussistono dubbi sul fatto che funga da pronome.

Τί δρομαῖος φεύγει;	Perché fugge di corsa?
Τι την πατρὶδα προλειπετε,	Perche abbandonate la patria?

In queste due frasi τί non rappresenta né il soggetto né l'oggetto del verbo, pertanto non sussistono dubbi sul fatto che funga da avverbio.

▶ Le proposizioni interrogative indirette

- Nelle proposizioni interrogative indirette **dipendenti da un tempo principale** si conserva il modo che esse avrebbero se fossero dirette. Invece in quelle **dipendenti da un tempo storico** si può usare l'ottativo obliquo in luogo dell'indicativo o del congiuntivo. Anche le interrogative indirette si suddividono in semplici e disgiuntive
- Le proposizioni **interrogative indirette semplici** possono essere introdotte da:

1. gli **stessi pronomi, aggettivi o avverbi interrogativi** usati per le interrogative dirette (vedi sopra);

Λέγε μοι **τί** πράσσεις.	Dimmi **che cosa** fai.

2. un **pronome, un aggettivo** o **un avverbio interrogativo indiretto** come
   - **ὅστις, ἥτις, ὅτι**, chi, che cosa (di questo pronome studieremo la flessione più avanti)
   - **ὁπότερος, -α, -ον**, chi/ cosa fra due
   - **ὁποῖος, -α, -ον**, quale
   - **ὁπόσος, -η, -ον**, quanto, quanto grande
   - **ὅπου**, dove (stato in luogo)
   - **ὅποι**, dove (moto a luogo)
   - **ὁπόθεν**, da dove
   - **ὅπως**, come

Λέγε μοι **ὅτι** πράσσεις.	Dimmi **che cosa** fai.

3. in assenza di pronomi, aggettivi o avverbi interrogativi, le interrogative indirette semplici possono essere introdotte dalla:

   congiunzione εἰ (+ indicativo o ottativo) o **ἐάν / ἤν** (+ congiuntivo).

Ἐπυνθάνετο **εἰ** Ἀθηναῖός **ἐστιν**. Chiedeva **se fosse** Ateniese.

- Le proposizioni **interrogative indirette disgiuntive** possono essere introdotte da **πότερον (πότερα) ... ἤ, εἴτε ... εἴτε, εἰ ... ἤ.**

Ὁ διδάσκαλος ἐρωτᾷ **εἰ** ἐγείρω **ἢ** καθεύδω. Il maestro chiede **se** sono sveglio **o** dormo.

PREPARATI ALLA TRADUZIONE

I seguenti esercizi ti permettono di verificare se hai imparato a:
- riconoscere le proposizioni interrogative dirette e indirette;
- distinguere le diverse tipologie di proposizioni interrogative dirette e indirette.

ESERCIZIO Completamento

9. Sulla base della traduzione completa correttamente il testo greco.

1. Ἐρωτᾷ τὸν Φαῖδρον _____ τοῦτό ἐστιν ἡ ῥητορική.
Chiede a Fedro se in questo consiste la retorica.
2. _____ οἱ προδόται τὴν πατρίδα φυλάσσουσι;
Forse che i traditori difendono la patria?
3. Ἀγνοοῦμεν _____ οἱ στρατηγοὶ τὴν ἀλήθειαν γιγνώσκουσι
Non sappiamo se gli strateghi siano a conoscenza della verità.
4. _____ ἐπιστολὴν ἐμοὶ φέρεις;
Quale lettera mi porti?
5. _____ οἱ πολῖται ἀγαθοὶ τοῖς κυρίοις νόμοις ἐμμένουσι;
I cittadini buoni non rispettano forse le leggi in vigore?
6. _____ συγγνώμην μοι ἔχεις;
Mi perdoni?
7. _____ ἄνθρωπον τοῦ Σωκράτους σοφώτερον γιγνώσκετε;
Conoscete forse un uomo più saggio di Socrate?
8. Ὁ δ' ἠρώτα _____ εἴη τὸ παιδίον.
Egli chiedeva di chi fosse il bambino.
9. Οἱ ἄγγελοι τοὺς Ἀθηναίους ἠρώτων _____ βούλοιντο φίλον γίγνεσθαι τὸν Φίλιππον.
I messi chiedevano agli Ateniesi se desideravano che Filippo diventasse (loro) amico.
10. Οἱ ἱππεῖς περὶ τούτου ἠπόρουν καὶ ἠρώτων _____ χρὴ ποιεῖν.
I cavalieri erano incerti su questo e chiedevano che cosa fosse necessario fare.

DDI
Lettura espressiva delle versioni

TRADUCI

Per facilitarti nella traduzione, ricorda che in questa sezione di esercizi si utilizzano vocaboli tratti dal Lessico frequente, dal Lessico tematico e altri che troverai sul vocabolario.

ESERCIZIO Proposizioni interrogative

10. Analizza e traduci le seguenti frasi, in cui sono evidenziati i pronomi, gli aggettivi, le particelle e gli avverbi interrogativi.

1. Δέσποτα, **τίνα** λογον λέγεις. **2. Ποίοις** προσώποις ἢ **τίσιν** ὀφθαλμοῖς πρὸς ἕκαστον τούτων ἀντιβλέπετε. **3. Πόσας** χεῖρας ἔχουσιν οἱ Ἑκατόγχειρες. **4. Τίς** ὁ ἀνθρώπινος βίος ἄνευ χρυσῆς Ἀφροδίτης. **Τί** τερπνὸν ἡμῖν; **5. Ἆρα** ἕπομαί σου τῷ λόγῳ; **6. Τίς** ἡ λόγος ἢ χρόνος ἢ ῥήτωρ ἱκανός ἐστι μηνύειν την τῶν ἐνθάδε κειμένων ἀνδρῶν ἀρετήν; **7. Οὐκοῦν** σὺ τῶν Ἑλλήνων ἄριστος ῥαψῳδὸς εἶ. **8. Πότερον** ἐμοὶ μόνῳ βούλεσθε διαλεγεσθαι **ἢ** καὶ μετὰ τῶν ἄλλων. **9. Τί** τον ἀδελφόν σου διαβάλλεις. **Ἦ** φθονερὸς εἶ τῇ εὐδαιμονίᾳ αὐτοῦ. **10.** Ἐκ τοῦ προσώπου πολλάκις κρίνομεν **πηλίκος** ἄνθρωπός ἐστιν. **11. Πόσον** ἐστι σημερον τὸ τοῦ ταρίχου τίμημα; Ἐπὶ **πόσῳ** ἐπιπράσκετο χθές; **12.** Χρὴ οὖν καὶ τοῦτο σκέπτεσθαι, **πότερον** ἥδιον ζῶσι οἱ ἄρχοντες **ἢ** οἱ ἀρχόμενοι.

13. Ξέρξης ἐπυνθάνετο **πόσοι** εἶεν οἱ Ἀθηναῖοι, ἀλλ' ἠγνόει **οἵῳ** θυμῷ μάχοιντο. **14.** Οὐ πολλάκις ἐν δεινοῖς κινδύνοις οἱ ἄνθρωποι γιγνώσκουσι **ποία** ἐστὶ ἡ ὁδὸς εἰς σωτηρίαν;

ESERCIZIO
Proposizioni interrogative

11. Analizza e traduci le seguenti frasi.

1. Ἐπυνθάνετο αὐτοῦ τίς τε ἦν καὶ πόθεν ἀφικνεῖτο. **2.** Ὁ δὲ στρατηγὸς τῶν Καρχηδονίων ἐξαπέστελλε τοὺς ὑπέας ἵνα κατασκέπτοιντο ποῦ καὶ πόσοι τυγχάνοιεν ὄντες καὶ τί πράσσοιεν οἱ πολέμιοι. **3.** Ἐν τῇ Μεμφει τὴν τοῦ Νείλου ἀνάβασιν ἀκριβῶς ἐκμετροῦντες οἱ τὴν τούτου διοίκησιν ἔχοντες ἐξαποστέλλουσιν εἰς τὸν βασιλέα ἐπιστολας, διασαφοῦντες ποσους πήχεις ἢ δακτύλους ἀναβαίνει ὁ ποταμός. **4.** Βουλομαι σκεπτεσθαι πῶς ποτ' ἔχει τὰ περὶ τῆς ἀρετῆς καὶ τί ποτ' ἐστὶ αὐτό, ἡ ἀρετή **5.** «Πότερον δὲ ὅταν πραττωσιν ἄνθρωποι ὀρθῶς τε καὶ ὠφελιμως, τοτε σωφρονεῖν σοι δοκοῦσιν οὕτω πραττοντες, ἢ τοὐναντίον,» «Σωφρονεῖν» «Οὐκοῦν σωφροσύνη σωφρονοῦσιν;» «Ἀναγκη» **6.** Θουκυδίδης ὁ Ἀθηναῖος οὐ μόνον συγγραφει τίνες ἦσαν τοῦ Πελοποννησιακοῦ πολέμου αἰτιαι, ἀλλὰ καὶ αὐτὰ τὰ ἐν τούτῳ τῷ πολέμῳ πράγματα. **7.** Ἀρχίδαμος ὁ Ἀγησιλάου, Περιάνδρου τοῦ ἀξιολόγου ἰατροῦ καὶ φαῦλα ποιήματα γραφοντος, πρὸς αὐτὸν ἔλεγε «Τι δῆποτε, ὦ Περιανδρε, ἀντὶ χαρίεντος ἰατροῦ κακὸς ποιητὴς καλεῖσθαι ἐπιθυμεῖς;» **8.** Μὴ τοὺς Ρωμαίους, ὑπὲρ τῆς πατρίδος μαχομένους, οἴει φροντίζειν θανάτου καὶ κινδύνου. **9.** Ἡμεῖς μελλομεν σοι συμβουλεύειν, ὧν χρὴ τοὺς νεωτέρους ορέγεσθαι καὶ τίνων ἔργων ἀπέχεσθαι καὶ ποίοις ἀνθρώποις ομιλεῖν καὶ πῶς τὸν ἑαυτῶν βίον οἰκονομεῖν. **10.** Και ἐν ᾧ δοκεῖ ἐλαχίστη σώματος χρεία εἶναι, ἐν τῷ διανοεῖσθαι, τίς ου γιγνώσκει ὅτι καὶ ἐν τούτῳ πολλοὶ μεγάλα σφάλλονται διὰ τὸ μὴ ὑγιαίνειν το σῶμα. **11.** Ποτερον φιλον μᾶλλον στέργομεν, τὸν δικαίως ἡμᾶς μεμφόμενον ἢ τὸν ἀεὶ κολακεύοντα. **12.** Ὁ Σωκράτης πρὸς τοὺς δικαστὰς ἔλεγε «Νῦν δὲ ἀνάγκη ἐστὶ ἐμοὶ μὲν ἀποθνήσκειν, ὑμῖν δὲ βιοῦν· ὁπότεροι ἡμῶν ἔρχονται ἐπὶ ἄμεινον πρᾶγμα, ἄδηλον παντὶ πλὴν ἢ τῷ θεῷ» **13.** Ξενοφῶν ἠρώτα τὸν Ἀπόλλωνα εἴτε καλὰ ἐποίει τῷ Κύρῳ ἑπόμενος, εἴτε ἐν Ἀθήναις μένειν αὐτὸν ἔδει.

VERSIONE
Difficoltà

176 Tre accuse sul conto di Socrate

Le tre accuse sul conto di Socrate vengono brevemente nepilogate e se ne discute quindi la prima: quella di empietà nei confronti delle divinità tradizionali

Πολλάκις ἐθαύμαζον τίσι λόγοις Ἀθηναίους ἔπειθον οἱ γραφόμενοι Σωκράτην ὡς ἄξιος εἴη θανατου τῇ πολει· Ἡ μεν γὰρ γραφὴ κατ' αὐτοῦ τοιάδε ἦν· ἀδικεῖ Σωκράτης οὓς μὲν ἡ πόλις νομίζει θεοὺς οὐ νομίζων, ἕτερα δὲ καινὰ δαιμόνια εἰσφέρων· ἀδικεῖ δὲ καὶ τοὺς νέους διαφθείρων· Πρῶτον μὲν οὖν, ὡς οὐκ ἐνομιζεν οὓς ἡ πολις νομίζει θεούς, ποίῳ ἐχρῶντο τεκμηρίῳ. Θύων τε γὰρ φανερὸς ἦν πολλάκις μὲν οἴκοι, πολλάκις δὲ ἐπὶ τῶν κοινῶν τῆς πόλεως βωμῶν, καὶ μαντικῇ χρωμενος οὐκ ἀφανὴς ἦν.

da Senofonte

LAVORIAMO SULLE COMPETENZE

Competenze linguistiche

a. Individua tutte le proposizioni interrogative dirette e indirette.

b. Individua tutte le relative e per ognuna di esse stabilisci la presenza di un antecedente implicito o esplicito.

c. εἴη (r. 2): come si spiega la presenza dell'ottativo?

Competenze lessicali

d. Individua il lessico che si riferisce all'ambito giudiziario.

e. Individua il lessico che si riferisce alla religione e al culto.

Comprensione

f. Chi scrive questo testo è dalla parte di Socrate o dei suoi accusatori? Motiva la tua risposta.

PAROLE IN PRIMO PIANO

Il verbo ἔχω

Il verbo ἔχω, ad altissima frequenza, presenta diversi significati, a seconda che sia usato con valore transitivo o intransitivo.

- Con **valore transitivo** significa:

1. **avere, possedere**, e in questa accezione può reggere anche un secondo accusativo del complemento predicativo dell'oggetto;

| Βιβλίον **ἔχω**.
| **Ho** un libro.

| Οἱ Πέρσαι Ἐφιάλτην **ἡγεμόνα εἶχον**.
| I Persiani **avevano** Efialte **come guida**

N.B. Bada che l'idea base di "possedere" può richiedere traduzioni diverse a seconda del contesto

| Οἱ πολέμιοι τὴν ἀκρόπολιν **ἔχουσιν**.
| I nemici **occupano** l'acropoli.

| Οὗτοι οἱ γεωργοὶ τὸν Μαραθῶνος λειμῶνα **εἶχον**.
| Questi contadini **abitavano** la piana di Maratona.

| Πολλοὶ στρατιῶται φυλακὰς **ἔχουσιν**.
| Molti soldati **fanno** la guardia.

| Ἡ Ἀθηνᾶ τὴν πόλιν **ἔχει**.
| Atena **protegge** la città.

Si segnalano anche due locuzioni in cui il verbo ἔχω è usato con questo significato: **(προσ)ἔχω νοῦν**, "pongo mente, faccio attenzione" ed **ἔχω πράγματα**, "ho problemi"

2. **trattenere, impedire, fermare, far cessare**;

Ὁ στρατηγὸς τοὺς σφοδροὺς στρατιώτας μόγις **ἔχει**.
Il generale **trattiene** a fatica i soldati impetuosi.

N.B. Ciò da cui si è trattenuti o che si è indotti a cessare è espresso con il genitivo di un sostantivo, di un pronome o di un infinito sostantivato negativo (τοῦ μή + inf.).

| Ὁ στρατηγὸς τοὺς στρατιώτας μόγις **τοῦ φόβου** (o **τοῦ μὴ φεύγειν**) ἔχει.
| Il generale trattiene a stento i soldati **dalla fuga** (o **dal fuggire**)

| Οἱ τῆς μητρὸς λόγοι τὴν παῖδα **τῶν δακρύων** ἔχουσι
| Le parole della madre fanno cessare **dal pianto** la bambina.

- Con **valore intransitivo** troviamo ἔχω principalmente in quattro costrutti: con il genitivo, con un avverbio, con l'infinito e con un'interrogativa indiretta:

3. **ἔχομαι + genitivo**

a. **attaccarsi, tenersi, attenersi a**;

| Ἵνα μὴ πίπτῃ, ὁ γέρων **τῆς τραπέζης εἴχετο**.
| Per non cadere, il vecchio **si attaccava al tavolo**.

| Ἡ ἱστορία **τῶν πραγμάτων ἔχεται**.
| La storiografia **si attiene ai fatti**.

b. astenersi, trattenersi da;

Οἱ σύμμαχοι **τῆς μάχης ἔχονται.**
Gli alleati **si astengono dalla battaglia**

c. dipendere da, spettare a, concernere;

Σοῦ ἔχεται τῆς μάχης ἅπτεσθαι.
Dipende da te attaccar battaglia.

Ἀγαθοῦ στρατηγοῦ ἐστι περι πάντα **τὰ τῶν σιτίων ἐχόμενα** ασχολεῖσθαι
È compito di un buon generale occuparsi di tutto **ciò che concerne il vettovagliamento**

4. in unione con un avverbio significa **stare, essere** (εὖ ἔχειν, "star bene"; κακῶς ἔχειν, "star male"; οὕτως ἔχειν, "stare, andare così"; ὀρθῶς ἔχειν, "essere giusto", εὐμενῶς ἔχειν, "essere benevolo"; δυσμενῶς ἔχειν, "essere ostile" ecc.);

Πῶς ἔχεις.
Come stai?

Πολλοι δοκοῦσιν **εὖ ἔχειν** τα σωματα, οὓς ουκ ἂν ῥᾳδίως αἰσθάνοιτό τις ὅτι οὐκ **εὖ ἔχουσιν**. (Plat. *Gorg*. 464a)
Sembrano **star bene** nel corpo molti che difficilmente qualcuno potrebbe capire che non **stanno bene**.

5. ἔχω + infinito = potere, essere in grado di;

Πόλλ' ἂν **λέγειν ἔχοιμι** πρὸς τὰ τοῦδ' ἔπη. (Soph. *Ph*. 1047)
Potrei dire molte cose contro le parole di costui.

6. οὐκ ἔχω + interrogativa indiretta = non sapere;

Οὐκ **ἔχων ὅ τι χρὴ λέγειν**. (Xen. *Cyr*. 1.4.24)
Non **sapendo che cosa dovesse dire**.

ESERCIZIO
Il verbo ἔχω

12. Con l'ausilio del dizionario associa ciascuno dei significati di ἔχω riportati nella colonna di sinistra ai vocaboli di quella di destra.

a.	abitare	**1.**	ἐμμένω
b.	conquistare	**2.**	κρατέω
c.	impedire	**3.**	δύναμαι
d.	proteggere	**4.**	ἀνάκειμαι
e.	rimanere	**5.**	οἰκέω
f.	fare cessare	**6.**	ἀπορέω
g.	dipendere	**7.**	φυλάσσω
h.	concernere	**8.**	κωλύω
i.	potere	**9.**	παύω
j.	non sapere	**10.**	προσήκω

ESERCIZIO
Il verbo ἔχω

13. Traduci le seguenti frasi attribuendo alle forme del verbo ἔχω il significato più appropriato.

1. Οἱ μὲν Θηβαῖοι ὑποφθόνως καὶ οὐκέτι φιλικῶς εἶχον πρὸς τοὺς Ἀρκάδας. **2.** Οἱ στρατιῶται ἄθυμοι ἦσαν ἀλλὰ δια τοὺς θυμοειδεῖς λόγους τοῦ στρατηγοῦ τοῦ φόβου εἶχοντο. **3.** Οἱ νεανίαι οὐκ αἰει διακρίνειν ἔχουσι τί ἀγαθὸν και τί κακόν ἐστι **4.** Τῶν Ἀθηναίων τὸν λόφον ἄκρον ἐχόντων, οι Λακεδαιμόνιοι εἰς τὸ χωρίον ἀνεχώρουν. **5.** Ἡ

ἐν τῷ πολέμῳ νίκη τῶν νεῶν εἵγετο. **6.** Ὁ Σωκράτης τοὺς δὲ οἰκειοτάτους πολίτας καὶ τὴν πόλιν ἅπασαν ὁρῶν ἐξαμαρτάνοντας οὐκ εἶχεν ὅπως ὠφελοίη **7.** Ὁ σοφὸς τὸ σῶμά τε καὶ τὴν ψυχὴν εὖ ἔχει. **8.** Ἡ θεὰ τὸν Ἀχιλλέα εἶχε τοῦ μὴ φάσγανον κολεοῦ ἐξέλκειν. **9.** Ὁ βασιλεὺς οὐκ εἶχε τίνι πιστεύοι. **10.** Οὐδείς ("nessuno", nom. m. sing.) τῆς γνώμης τῆς αὐτῆς αἰεὶ ἔχεται.

ESERCIZIO
Il verbo ἔχω

14. Nelle frasi dell'esercizio precedente sostituisci alle forme del verbo ἔχω, dove possibile, i verbi di significato affine tratti dall'esercizio 11. Se necessario, modifica la struttura della frase in base alle reggenze previste per tali verbi.

VERSIONE

Difficoltà

177 Il delfino e la scimmia

È da sciocchi vantarsi e pensare di ingannare gli altri, soprattutto quando si è ignoranti come la scimmia della favola.

Ἔθος ἐστὶ τοῖς πλέουσιν ἐπάγεσθαι κυνίδια καὶ πιθηκους πρὸς παραμυθίαν τοῦ πλοῦ. Καὶ δή ὁδοιπόρος πλεῖν μελλων εἶχε σὺν ἑαυτῷ καὶ πίθηκον Γιγνομένων δὲ αὐτῶν κατὰ τὸ Σούνιον (ἐστὶ δὲ τοῦτο Αθηναίων ἀκρωτήριον), συνέβαινε χειμῶνα σφοδρὸν γίγνεσθαι. Περιτρεπομένης δὲ τῆς νεὼς καὶ πάντων διακολυμβώντων, ἐνήχετο καὶ ὁ πίθηκος. Δελφὶς δὲ θεώμενος αὐτὸν καὶ οἰόμενος ἄνθρωπον εἶναι ὑπεξερχόμενος διεκόμιζεν ἐπὶ τὴν χέρσον. Ὡς δὲ ἐγίγνοντο κατὰ τὸν Πειραιᾶ, τὸν λιμένα τῶν Ἀθηναίων, ὁ δελφὶς επυνθάνετο τοῦ πιθήκου εἰ Αθηναῖός ἐστι. Τοῦ δὲ ἀποκρινομένου λαμπροὺς ἐνταῦθα ἔχειν τοὺς γονέας, ἐκ δευτέρου ἤρετο ὁ δελφὶς αυτὸν εἰ ἐπίσταται τὸν Πειραιᾶ. Ὑπολαμβάνων δὲ ὁ πίθηκος περὶ ἀνθρώπου τὸν δελφῖνα λέγειν, ἔφασκε εἶναι φίλον αυτῷ καὶ συνήθη Καὶ ὁ δελφὶς ἀγανακτῶν κατὰ τῆς αὐτοῦ ψευδολογίας βαπτίζων αὐτὸν ἀπέκτεινε. Ὁ μῦθος πρὸς ἄνδρας οἳ τὴν ἀλήθειαν οὐ γιγνώσκοντες ἀπατᾶν νομίζουσιν.

da Esopo

LAVORIAMO SULLE **COMPETENZE**

Competenze linguistiche

a. Rintraccia e analizza le proposizioni interrogative presenti nel testo. Presta particolare attenzione alla resa delle interrogative indirette e alla *consecutio temporum* dell'italiano.
b. τοῖς πλέουσιν (r. 1): che valore ha questo participio da un punto di vista sintattico?
c. ἐνήχετο (r. 4). individua il verbo a cui questa forma va ricondotta e coniugalo all'indicativo presente.
d. τοῦ πιθήκου (r. 7): come si giustifica questo genitivo?
e. Ὁ μῦθος πρὸς ἄνδρας (r. 11): il predicato è sottinteso: di quale verbo si può trattare?

Competenze lessicali

f. Individua le parole che hanno a che fare col lessico del mare e della navigaz one
g. Individua e memorizza i verbi esprimenti domande e risposte.

Comprensione

h. Come mai le scimmie sono generalmente condotte in mare dai marinai?
i. Qual è l'equivoco che si genera intorno al termine "Pireo"?

VERSIONE

Difficoltà

178 Una moglie intrattabile

Una moglie che si comporta male con la servitù è messa alla prova dal manto

Ἀνὴρ ἔχων γυναῖκα πρὸς πάντας τοὺς οἰκείους λίαν ἀργαλέαν ἐβούλετο γιγνώσκειν εἰ καὶ πρὸς τοὺς πατρῴους οἰκέτας ὁμοίως ἔχει· ὅθεν μετὰ προφάσεως εὐλόγου πρὸς τὸν πατέρα αὐτὴν ἔπεμπε. Μετὰ δὲ ὀλίγας ἡμέρας ἀνερχομένης αὐτῆς, ὁ ἀνὴρ ἐπυνθάνετο πῶς αὐτην οἱ οἰκεῖοι προσεδέχοντο· Αὐτὴ δὲ ἔφη «Οἱ βουκόλοι καὶ οἱ ποιμένες με ὑπερεβλέποντο» Καὶ ὁ γαμέτης ἔλεγε πρὸς αὐτήν «Ἀλλ', ὦ γύναι, εἰ τούτοις ἀπηχθάνου οἳ κατ'ὄρθρον μὲν τὰς ποίμνας ἐξελαύνουσιν, ὀψὲ δὲ εἰσέρχονται, τί χρὴ προσδοκᾶν περὶ τούτων οἷς πᾶσαν τὴν ἡμέραν συνδιέτριβες;».

Οὕτω πολλακις ἐκ τῶν μικρῶν τα μεγαλα καὶ ἐκ τῶν προδήλων τὰ ἄδηλα γνωρίζονται.

da Esopo

LAVORIAMO SULLE **COMPETENZE**

Competenze linguistiche

a. Individua le proposizioni interrogative dirette e indirette sottolineando, se espressi, i pronomi o le congiunzioni che le introducono.

b. Analizza tutte le frasi relative individuando l'antecedente di ognuna di esse.

c. ὁμοίως ἔχει (r. 2). come si traduce questa locuzione? Rileggi, se necessario, la scheda "Parole in primo piano" a p. 541 e rispondi alla domanda

Competenze lessicali

d. Analizza il valore dei preverbi nelle voci ἀνερχομένης (r. 3), ὑπερεβλέποντο (r. 5) e συνδιέτριβες (r. 7) specificando come ciascuno di questi modifichi il significato di base della voce verbale.

e. L'aggettivo ἀργαλέος è connesso col termine ἄλγος, "dolore": individua alcune parole in italiano derivanti da questo termine.

Comprensione

f. Spiega il senso della frase conclusiva in relazione al racconto.

VERSIONE

Difficoltà

179 Il poeta Filosseno alla corte di Dionisio

Filosseno, ospite alla corte del tiranno Dionisio, non esitò a criticare apertamente i maldestri tentativi di fare poesia da parte del sovrano, rischiando per questo di essere rinchiuso nelle latomie, le cave di pietra usate come carcere dai Siracusani.

Διονύσιος ὁ τῶν Συρακοσίων τυραννος ἐκαυχᾶτο πολὺ μᾶλλον ἐπι τοῖς ἑαυτοῦ ποιήμασιν ἢ τοῖς ἐν πολεμῳ κατορθώμασιν. Τῶν δὲ συνόντων αὐτῷ ποιητῶν Φιλόξενος ὁ διθυραμβοποιός, μέγιστον ἔχων ἀξίωμα κατα τὴν κατασκευὴν τοῦ ἰδιου ποιήματος, κατὰ τὸ συμπόσιον ἀναγιγνωσκομένων τῶν τοῦ τυράννου ποιημάτων μοχθηρῶν ὄντων ἐπηρωτᾶτο περὶ τῶν ποιηματων τοῦ Διονυσίου τινα κρίσιν ἔχοι. Ἀποκρινομένου δ' αὐτοῦ παρρησιωδέστερον, ὁ μεν τύραννος προσκοπτων τοῖς ῥημασιν ἐκείνου, καὶ καταμεμφόμενος ὅτι δια φθόνον εβλασφημει, προσετασσε τοῖς ὑπηρέταις παραχρῆμα ἀπάγειν Φιλόξενον εις τὰς λατομιας. Τῇ δ' ὑστεραίᾳ τῶν φίλων παρακαλούντων συγγνώμην διδόναι τῷ Φιλοξένῳ, διαλλασσόμενος αὐτῷ πάλιν τοὺς αὐτοὺς παρελάμβανεν ἐπὶ τὸ συμποσιον. Προβαίνοντος δε τοῦ πότου, καὶ πάλιν τοῦ Διονυσίου καυχωμένου περὶ τῶν ἰδιων ποιημάτων καὶ ἐπερωτῶντος «Ποῖά σοι φαίνεται τὰ ποιήματα ὑπάρχειν;». Ἄλλο μὲν οὐδὲν ("niente", acc. n. sing.) Φιλόξενος λέγει, τοὺς δ' ὑπηρετας τοῦ Διονυσίου προσκαλούμενος κελεύει αὐτὸν ἀπάγειν εἰς τὰς λατομίας.

da Diodoro Siculo

3 I pronomi indefiniti e il pronome reciproco

Grammatica cap. 20, parr. 1.3-1.6 ▶ pp. 138-140

PREPARATI ALLA TRADUZIONE

I seguenti esercizi ti permettono di verificare se hai imparato a:
- riconoscere e declinare i pronomi e gli aggettivi indefiniti;
- distinguere i diversi usi dei pronomi e degli aggettivi indefiniti;
- riconoscere e declinare il pronome reciproco.

ESERCIZIO Riconoscimento

15. Scegli la forma di indefinito corretta tra quelle indicate, quindi traduci.

1. Παῖς τις / τινα θηρευων ἀκρίδας περιετύγχανε σκορπίῳ **2.** Ἀηδὼν ἐπί τινος / τινι δρυὸς ὑψηλῆς καθημένη κατὰ τὸ σύνηθες ᾖδεν **3.** Εἰ φιλίαν τι τινὸς / τινος διώκεις, τὸν τρόπον αὐτοῦ ἐξέταζε. **4.** Μηδὲν / Μηδένα λογίζου, πάντα καιρῷ γίγνεται. **5.** Ἐν ὁδῷ τινι / τι εφονεύετο Ἴβυκος ὁ ποιητής **6.** Φιλεῖ δὲ πλεῖον ἑαυτοῦ οὐδείς / οὐδενί / οὐδένα. **7.** Οὗτος ο νεανίας οὐδενὶ / οὐδενὸς πείθεται **8.** Ισότητα τίμα, καὶ πλεονέκτει μηδένα / οὐδενα. **9.** Τυρταῖος ὁ ποιητὴς τὸν ἄλλον ἕτερον πόδα χωλὸς ἦν. **10.** Γίγνωσκε σαυτὸν θέλων νουθετεῖν ἄλλους / ἑτερους. **11.** Οἱ Ῥωμαῖοι καὶ οἱ Καρχηδόνιοι ἀλλήλοις / ἄλληλοι περὶ ἡγεμονίας ἤριζον. **12.** Οὐκ ἔστιν ἐλπὶς μηδεμία / οὐδεμία σωτηρίας.

ESERCIZIO Completamento: τις, τι

16. Completa le seguenti frasi inserendo l'indefinito τις, τι nella forma richiesta dal contesto, quindi traduci.

1. Ποταμὸς _____ ἐστὶ τῆς Λυκίας καλούμενος Ξάνθος. **2.** Ὄνος ξύλα βαστάζων διέβαινέ _____ λίμνην. **3.** Οἱ θεοὶ ἔν _____ καιροῖς βοηθοῦσιν ἡμῖν **4.** Ἔν _____ οἰκίᾳ πολλοὶ μύες ἦσαν **5.** Οἱ θηρευταὶ ἐλάφους _____ ἐν τῷ λειμῶνι νεμομένους ὁρῶσιν. **6.** Οἱ δὲ λῃσταὶ ἐν κήπῳ παιζούσας τὰς κόρας συναρπάζουσι. **7.** Πάντες Ἰνδοὶ ἐλεύθεροί εἰσιν, οὐδὲ _____ δοῦλός ἐστιν ἐν αὐτοῖς **8.** Παρ' ἀνδρὸς χρηστοῦ χρὴ _____ σοφόν _____ μανθάνειν.

ESERCIZIO Completamento, altri indefiniti

17. Completa le seguenti frasi inserendo l'indefinito indicato nella forma richiesta dal contesto, quindi traduci.

1. Οἱ δ' Ἀθηναῖοι πολιορκούμενοι κατὰ γῆν καὶ κατα θάλασσαν ἠπόρουν τί χρη ποιεῖν, οὔτε νεῶν οὔτε συμμάχων αὐτοῖς ὄντων οὔτε σίτου· ἐνόμιζον δὲ _____ (οὐδείς) εἶναι σωτηρίαν **2.** Τοῦ δ' ἐπιγιγνομένου χειμῶνος ετύγχανον ἔφοροι _____ (ἕτερος). **3.** Ἀνδρείως οἱ τῶν _____ (αμφότερος) στρατοπέδων στρατιῶται μάχονται. **4.** _____ (Οὐδείς) μετ' ὀργῆς ἀσφαλῶς βουλεύεται **5.** Αἴας ὁ Τελαμώνιος _____ (αμφότερος) χερσὶ τῷ ἀκοντίῳ ἔβαλλε. **6.** Αἰσχρὸν δὲ _____ (μηδείς) πρᾶττε, μηδὲ μάνθανε. **7.** _____ (Οὐδείς) κέρδος ἐκ προδοσίας γίγνεται **8.** _____ (Ἄλλος) καθεύδων ἤδετο, _____ (ἄλλος) ἐσθίων.

TRADUCI

DDI
Lettura espressiva delle versioni

Per facilitarti nella traduzione, ricorda che in questa sezione di esercizi si utilizzano vocaboli tratti dal Lessico frequente, dal Lessico tematico e altri che troverai sul vocabolario.

ESERCIZIO τις, τι

18. Analizza e traduci le seguenti frasi, prestando particolare attenzione alle forme dell'indefinito τις, τι che sono evidenziate.

1. Ἔστι καὶ ἐν κακοῖς ἡδονῆς **τι** μέτρον. **2.** Αἰγὰ **τινων** ἐπ' ἀγροῦ θυόντων, ὁ ἀετὸς μέρος **τι** τῶν θυμάτων ἥρπαζε. **3.** Κλέπτης ἓν **τινι** πανδοχείῳ διέμενεν ἡμέρας **τινὰς** προσδοκῶν κλέπτειν **τι**. **4.** Ἄνθρωπός **τις** πενης νοσῶν καὶ κακῶς διακειμενος τοὺς θεοὺς μόνους παρακαλεῖν δύναται. **5.** Δημάδης ὁ ῥήτωρ δημηγορῶν ποτε ἐν Ἀθήναις ἐκείνων μὴ πάνυ **τι** αὐτῷ προσεχοντων ἐδεῖτο αὐτῶν, ὅπως ἐπιτρέπωσιν αὐτῷ Αἰσώπειον μῦθον λέγειν. **6.** Εἰ θεοί αἰσχρόν **τι** ποιοῦνται, οὐκ εισι θεοί. **7.** Διογενης ὁ Κυων καλούμενος ἔρημος ἦν καὶ οὔτε **τινὰ** δι' ἀπορίαν ὑπεδέχετο, οὔτε **τις** αὐτὸν ἐξένιζε. **8.** Πρέπον ἐστί **τῳ** πείθεσθαι, ὃς τὰ δίκαια συμβουλεύει. **9.** Εὖ ἐπίστανται οἱ ἐν ταῖς Θήβαις ἄρχοντες ὅτι, εἰ μή **τις** ἄρχει πολέμου, οὐκ ἐθέλουσιν οἱ Λακεδαιμόνιοι λύειν τὰς σπονδὰς πρὸς τοὺς συμμάχους. **10.** Οἱ φυλακες κατασκοπόν **τινα** τῶν πολεμίων λαμβανουσιν.

Per tradurre

Alcuni usi dell'indefinito τις, τι

- Talvolta, quando il senso generale lo consente, τις può essere reso con il "si" impersonale italiano

  Λέγει τις τοὺς πολεμίους ἔρχεσθαι.
  Qualcuno dice che i nemici si avvicinano.
  Si dice che i nemici si avvicinano.

- In determinati contesti il pronome può assumere il significato enfatico di "**qualcuno, qualcosa di importante**".

  Ὁ βασιλευς τοὺς στρατηγους ἔτι πολλῆς νυκτος συγκαλεῖ, ἵνα **τι** λέγῃ
  Il re convoca i generali nel pieno della notte per riferire **qualcosa di importante**

- Le espressioni **πᾶς τις** ed **ἕκαστός τις** (ma qualche volta anche il semplice τις) significano "ognuno, ciascuno".

  Τῶν πολεμίων προσερχομένων **πᾶς τις** τῶν πολιτῶν τα ἴδια ἀπεκρύπτετο.
  All'approssimarsi dei nemici **ciascuno** dei cittadini cercava di nascondere i propri beni.

  Ἔφερον τὰ ὅπλα ἃ **τις** ἐδύνατο.
  Portavano le armi che **ciascuno** poteva.

- Il **neutro τι**, usato come **accusativo di relazione**, può significare "in qualche cosa, in un certo senso, in qualche modo".

  Δίκαιόν ἐστι τοὺς στρατηγοὺς διαφέρειν **τι** τῶν στρατιωτῶν.
  È giusto che i comandanti siano diversi **in qualcosa** dai soldati.

- **Con i numerali** τις vale "all'incirca".

  Ὁ βασιλεὺς **σὺν τισιν δέκα στρατιώταις** ἀπὸ τῆς νεὼς ἀποβαίνει
  Il re sbarca dalla nave **con circa dieci soldati**

ESERCIZIO τις, τι

19. Analizza e traduci le seguenti frasi.

1. Παρεθάρρυνε μέν ὁ στρατηγός τι αὐτούς. **2.** Καὶ τῶν μὲν Κορινθίων τρεῖς ("tre") νῆες διαφθείρονται, τῶν δ' Ἀθηναίων επτά ("sette") τινες ἄπλοι ἐγίγνοντο **3.** Πᾶν γάρ τι ἔπρασσε ὁ στρατηγὸς κατ' αὐτῶν ὃ δυνατὸς εἴη. **4.** Ἐν τῇ πόλει ἀγγέλλει τις τοὺς Πέρσας εἰς τὴν Ἀττικὴν πλεῖν **5.** Ἀεί τι καινὸν ἡμέρα παιδεύεται. **6.** Νόμιμα ἄττα τοῖς Ἰνδοῖς ἐστι καί, εἰ δη τινα ἄτοπα ζῷά ἐστιν, αὐτόθι φυεται. **7.** Μετὰ τὴν ναυαγίαν ἡμεῖς, πρὸς αἰγιαλὸν ἐκπίπτοντες, δι' ἀτραποῦ τινος ἐβαδίζομεν, ἐλπίζοντες εὑρισκειν σκέπην τινὰ ποιμένων ἢ βουκόλων **8.** Εἰσηρχοντο δὲ παρὰ τὸν βασιλέα οἵ τε στρατηγοὶ καὶ τῶν ἄλλων Ἑλλήνων τινὲς ἀξιοῦντες γιγνώσκειν τί σφισιν ἔμελλε αὐτὸς διδόναι μετὰ τὴν μάχην. **9.** Πυνθανομένου τινὸς ἀπὸ Ἀριστοτέλους τί ταχύτατα γηράσκει, «Χάρις» ἔλεγε. **10.** Ξενοφῶν διηγεῖται ὅτι, χρωμένων τινῶν ἐν Δελφοῖς, πίπτει τὸ κιόκρανον ἀπό του κίονος, οὔτε σεισμοῦ τινος οὔτε ἀνέμου γιγνομένου.

ESERCIZIO Altri indefiniti

20. Analizza e traduci le seguenti frasi, in cui sono evidenziate le forme di pronomi e aggettivi indefiniti.

1. Βιοῖ γὰρ **οὐδεὶς** βίον ὃν **προαιρεῖται**. **2.** Οἱ δὲ Μήλιοι Λακεδαιμονίων μέν εἰσιν ἄποικοι, τῶν δ' Ἀθηναιων οὐκ ἤθελον ὑπακουειν ὥσπερ οἱ **ἄλλοι** νησιῶται. **3.** Ὁ Λίχας ἐσκόπει τὰ ποιούμενα καὶ τὰς σπονδὰς **οὐδετέρας**, οὔτε τὰς Χαλκιδέως οὔτε τὰς Θηριμένους, ἔφη καλῶς συγκεῖσθαι. **4.** Ἐν ἐρημίᾳ τὸν βίον ἄγειν ἀναγκάζονται τινες, οἳ **οὐδένα** ἑταῖρον ἔχουσιν **5.** Οἱ ἀδελφοί, καὶ πολὺ διιστάμενοι, πράττουσιν ἅμα καὶ ἐπ' ὠφέλειαν **ἀλλήλων**. **6.** Τί ἐστι τὸ δικαστήριον; Ὃ **δεῖνα** τὸν **δεῖνα** εἰσαγγέλλει, καὶ ὁ **δεῖνα** πρὸς τὴν τοῦ **δεῖνος** κατηγορίαν ἀπολογεῖται. **7.** Ὥσπερ **ἄλλος τις** ἢ ἵππῳ ἀγαθῷ ἢ κυνὶ ἢ ἱέρακι ἥδεται, οὕτω καὶ ἔτι μᾶλλον τοῖς ἀγαθοῖς φίλοις ἥδομαι. **8.** Οἱ Κύκλωπες θηριωδῶς ἐβίουν ἐν ἄντροις πετρώδεσιν, **οὐδὲν οὐδενὶ** πειθόμενοι **9.** Οἱ **ἄλλοι** μὲν τὰς εὐπαθείας ἐκ τῆς ἀγορᾶς πολυτελεῖς πορίζονται, ἐγὼ δὲ ἐκ τῆς ψυχῆς ἄνευ δαπάνης ἡδίους ἐκείνων μηχανῶμαι **10.** Ἀθηναίων τινὶ ἐν Δελφοῖς περὶ Σωκρατους ἐπερωτῶντι ἀνήρει ο Ἀπόλλων **μηδένα** εἶναι ἀνθρώπων ἐκείνου μήτε ἐλευθεριώτερον μήτε δικαιότερον μήτε σωφρονέστερον. **11.** Ἅμα δὲ καὶ διεχοντες πολυ οἱ στρατιῶται ἦσαν, ὅπως τὰ ὅπλα μὴ κρουόμενα πρὸς **ἄλληλα** αἴσθησιν παρέχοι. **12.** Κόνων ταύταις τριήρεσι ἀνηγετο μετὰ τῶν **ἄλλων** στρατηγῶν, **ἄλλοτε ἄλλῃ** ἀποβαίνων τῆς τῶν πολεμίων χώρας ἐλῄζετο.

Per tradurre

Il cumulo di negazioni

- Analogamente a quel che accade in italiano, ma diversamente da ciò che succede in latino, anche in greco più negazioni nella stessa frase rafforzano il valore negativo della stessa.

  | **Οὐδεὶς οὐδὲν** ὁρᾷ. **Nessuno** vede **nulla**.

- Bada però che, quando in una frase una negazione composta (ad es οὐδείς o οὐδέτερος) precede la negazione semplice, l'idea negativa si annulla.

  | **Οὐδὲν οὐ** ποιῶ Faccio **tutto** (non c'e **nulla** che io **non** faccia)

ESERCIZIO
Altri indefiniti

21. **Analizza e traduci le seguenti frasi.**

1. Τοῖς γὰρ φύσει ὑσὶν αὐτοῦ οὐδεὶς οὐδενὶ ἐν διαθήκῃ γράφει δόσιν οὐδεμίαν. **2.** Οὐδενὶ γάρ οὐκ ἐστιν βωμὸς πατρῷος. **3.** Τὸ μὲν τοίνυν μειράκιον περὶ οὐδένα οὐδὲν ἡμάρτανε **4.** Ἀνθρώποις τισιν ἡ ἄλλου εὐτυχία φθόνου αἰτία εστίν. **5.** Τῶν ἀνθρώπων οὐδεὶς τὸν βίον οὐ λείπει **6.** Θερσίτης αἴσχιστος ἦν τῶν Ἀχαιῶν και χωλὸς ἕτερον πόδα. **7.** Ἀγγελλόντων τινῶν τὸν τοῦ βασιλέως θάνατον, οι στρατιῶται φυγῆ ἄλλος ἄλλῃ ἐτρέποντο, κινδυνευοντες ὑπὸ λιμοῦ τε και δίψους διαφθείρεσθαι **8.** Ἐνταῦθα μέντοι οἱ μὲν κατὰ τὰς κλίμακας αναβαίνοντες ἤλλοντο κατὰ τοῦ τείχους καὶ διεφθείροντο, οἱ δὲ περι τὰς κλίμακας ὠθούμενοι καὶ παιόμενοι ἀπέθνῃσκον, οἱ δὲ καὶ καταπατούμενοι ὑπ᾽ ἀλλήλων ἀπεπνίγοντο **9.** Τοὺς δὲ τροπαῖον ισταμένους οὐδέτεροι ἐκώλυον, νεκροὺς δὲ ἀμφότεροι ὑποσπόνδους ἀπεδίδοσαν. **10.** Ἐν ταῖς Ἀθήναις νυκτος ἐλέγετο ἡ συμφορά, καὶ οἰμωγὴ ἐκ τοῦ Πειραιῶς διὰ τῶν μακρῶν τειχῶν εἰς ἄστυ διῆκεν, ὁ ἕτερος τῷ ἑτέρῳ παραγγελλων. **11.** Ἐνταῦθα και ἀποθνήσκει Χαίρων τε και Θίβραχος, ἄμφω πολεμάρχω **12.** Πολιορκουμένου τοῦ βασιλέως, πολλὰ τῶν ἐθνῶν ἀφίστατο, ἑκάστου πρὸς τὴν ἐλευθερίαν αὐτομολοῦντος.

VERSIONE

Difficoltà

180 La punizione di un miscredente

Un miscredente viene punito per aver osato sfidare l'autorità dell'oracolo di Delfi

Ἀνὴρ κακοπράγμων βουλόμενος πρός τινα ἐπιδεικνύναι ψευδὲς εἶναι τὸ ἐν Δελφοῖς μαντεῖον, ὡς ἐνίστατο ἡ προθεσμία, λαμβάνων στρουθίον εἰς τὴν χεῖρα καὶ τοῦτο τῷ ἱματίῳ καλύπτων, ἦκεν εις τὸ ιερὸν καὶ ἱστάμενος ἀντικρὺς ἐπηρώτα πότερόν τι ἔμπνουν ἔχοι μετὰ χεῖρας ἢ ἄψυχον, βουλομενος, εἰ μὲν ἄψυχον ἔλεγε, ζῶν τὸ στρουθίον ἐπιδεικνύναι, ει δὲ ἔμπνουν, ἀποπνίγειν αυτὸ καὶ προφέρειν. Καὶ ὁ θεὸς συνίει αὐτοῦ τὴν κακότεχνον γνώμην καὶ ἔλεγε· «Ἀλλ᾽ ὦ οὗτος, παῦε· ἐν σοὶ γάρ ἐστι τοῦτο ὅ ἔχεις ἢ νεκρὸν εἶναι ἢ ἔμψυχον».
Ὁ λόγος δηλοῖ ὅτι τὸ θεῖον ἀπαρεγχείρητόν ἐστι.

da Esopo

LAVORIAMO SULLE **COMPETENZE**

Competenze linguistiche

a. Individua e analizza i pronomi indefiniti.
b. Individua e analizza gli altri pronomi che conosci.
c. Individua e analizza le proposizioni interrogative indirette e quelle relative.
d. προθεσμια (r. 2): l'aggettivo sottintende un nome femminile: cerca προθέσμιος su dizionario e indica qual è.
e. συνίει (r. 5): analizza questa forma verbale.

Competenze lessicali

f. Individua almeno una coppia di sinonimi e una di contrari presenti nel testo.
g. Con l'aiuto del dizionario prova ad analizzare la formazione dell'aggettivo ἀπαρεγχείρητος (r. 8).

Comprensione

h. Come mai il miscredente sfida l'autorità dell'oracolo di Delf.?

VERSIONE
Difficoltà

181 Ingratitudine divina

Un pover'uomo onora con grande devozione la statuetta di un dio, chiedendo un po' di fortuna, ma non ottiene nulla, almeno finché non perde la pazienza

Ἄνθρωπός τις, ξύλινον θεόν τι ἔχων, πενέστατος ὤν, πολλακις εὔχετο καὶ ἐθεράπευε τὸν θεόν, ἵνα ἀγαθοποιοίη. Ἀλλ' ἐπεὶ καθικετεύων περ μᾶλλον ἐν πενίᾳ τὸν βίον διῆγε, ὀργιζόμενος, ἐκ τοῦ ἑτέρου σκέλους αἴρει τὸν θεὸν καὶ τῷ τοίχῳ προσκρούει. Τῆς δὲ κεφαλῆς τοῦ ἀγάλματος παραχρῆμα κλωμένης, πλεῖστος χρυσὸς ἐξέρχεται. Ὃν δὲ συλλέγων ὁ ἄνθρωπος λεγει «Στρεβλος εἶ, ὡς οἶμαι, καὶ ἀγνώμων· τοῖς γὰρ θεραπεύουσιν οὐδεμίαν βοήθειαν δίδως, τους δὲ τύπτοντας πλείστοις ἀγαθοῖς ἀμείβῃ». Ὁ μῦθος δηλοῖ ὅτι πονηρὸν ἄνδρα τιμῶν ὠφέλιμον οὐδὲν κτᾶταί τις, αὐτὸν δὲ τύπτων πλέον κερδαίνει.

da Esopo

VERSIONE
Difficoltà

182 Il gatto dottore

Un gatto si finge dottore per impadronirsi di una ghiotta preda.

Αἴλουρος ἀκούει ὅτι ἔν τινι ἐπαύλει ὄρνεις νοσοῦσι καὶ σχηματίζει ἑαυτὸν εἰς ἰατρὸν καὶ τὰ τῆς ἐπιστήμης πρόσφορα ἀναλαμβάνων ἐργαλεῖα παραγίγνεται καὶ ἱστὰς πρὸ τῆς ἐπαύλεως πυνθάνεται αὐτῶν πῶς ἔχουσι. Αἱ δὲ ἀποκρίνονται· «Καλῶς ἔχομεν καὶ οὐδαμῶς ἀποθνήσκομεν εἰ σὺ ἐντεῦθεν ἀπαλλάσσῃ». Οὕτω καί τινες πονηροὶ τῶν ἀνθρώπων τοὺς φρονίμους οὐ λανθανουσι, καὶ εἰ ("anche se") τα μάλιστα χρηστότητα ὑποκρίνονται.

da Esopo

VERSIONE
Difficoltà

183 Un re dà saggi consigli ai suoi sudditi

Un re consiglia ai suoi sudditi di preservare il suo governo monarchico. I mutamenti non fanno che arrecare danno alle città e ai loro abitanti.

Διαφυλάττετε τὴν παροῦσαν καταστασιν, καὶ μηδεμιᾶς ἐπιθυμεῖτε μεταβολῆς, εἰδότες ("ben sapendo") ὅτι διὰ τὰς ταραχὰς ἀναγκαῖόν εστι καὶ τὰς πόλεις διαφθείρεσθαι καὶ τους οἴκους τοὺς ἰδιους ἀναστάτους γιγνεσθαι. Μὴ μόνον τὰς φύσεις αἰτίας νομίζετε τοῦ χαλεποὺς ἢ πράους εἶναι τοὺς τυράννους, ἀλλά καὶ τὸν τρόπον τὸν τῶν πολιτῶν· πολλοι γαρ ἤδη διὰ τὴν τῶν ἀρχομένων κακίαν ταχέως ἄρχειν ἠναγκάσθησαν ("furono costretti") Θαρρεῖτε μὴ μᾶλλον διὰ τὴν πραότητα τὴν ἐμὴν ἢ διὰ τὴν ὑμετέραν αὐτῶν ἀρετην· Τὴν ἐμὴν ἀσφαλειαν ἄδειαν ὑμῖν αὐτοῖς εἶναι νομίζετε. Ταπεινους μὲν εἶναι χρὴ πρὸς την ἀρχὴν την ἐμήν, ἐμμένοντας τοῖς ἔθεσι καὶ διαφυλάττοντας τοὺς νόμους τοὺς βασιλικούς, λαμπροὺς δ' ἐν ταῖς ὑπὲρ τῆς πόλεως λειτουργίαις[1] καὶ τοῖς ἄλλοις τοῖς ὑπ' ἐμοῦ προστατομένοις.

da Isocrate

1. λειτουργιαις: questo termine indica le prestazioni pubbliche che lo Stato imponeva ai cittadini ricchi per il benessere dell'intera comunità.

LAVORIAMO SULLE **COMPETENZE**

Competenze linguistiche

a. μηδεμιᾶς (r. 1): a che cosa corrisponde questa forma?

b. ὅτι (r. 2): che tipo di subordinata introduce questa congiunzione e a quale verbo si lega?

c. ἀναστάτους (r. 3): che funzione ha questo aggettivo?

d. τῶν ἀρχομένων (r. 5). che valore ha questo participio? Come puoi tradurlo?
e. τοῖς ἄλλοις (r. 9): di che cosa si tratta?
f. ὑπ' ἐμοῦ (rr. 9-10) qual è la funzione sintattica del sintagma?
g. προστάττομενοις (r. 10) che valore ha questo participio?

Competenze lessicali

h. Fai una breve ricerca sul valore della λειτουργία nel mondo greco, quindi concentrati sul suo derivato italiano "liturgia", precisandone l'accezione e il differente ambito d'utilizzo.

Comprensione

i. Rispetto al governo dello Stato, qual è il ruolo dei sudditi che emerge da questo testo?

VERSIONE

Difficoltà

184 L'importanza dell'educazione

A rendere prospero e sicuro uno Stato sono la tempra morale, lo spirito di sacrificio e la laboriosità dei cittadini, tutte qualità che è compito dell'educazione sollecitare o affinare.

Πόλιν γὰρ ἡμεῖς οὐ μόνον τα οἰκοδομήματα ηγούμεθα εἶναι, οὐδε τειχη καὶ ἱερὰ ἃ ὥσπερ σῶμά τι ἑδραῖον καὶ ἀκίνητον ὑπάρχειν εἰς ὑποδοχὴν καὶ ἀσφάλειαν τῶν πολιτευομένων, τὸ δὲ πᾶν κῦρος ἐν τοῖς πολίταις τιθέμεθα οὗτοί εἰσιν οι ἀναπληροῦντες καὶ διατάττοντες καὶ ἐπιτελοῦντες ἕκαστα καὶ φυλαττοντες, οἷόν τι ἐν ἡμῖν ἑκάστῳ ἐστὶν ἡ ψυχή. Μάλιστα δὲ καὶ ἐξ ἅπαντος τοῦτο προνοοῦμεν. ὅπως οἱ πολῖται ἀγαθοὶ μὲν τὰς ψυχάς, ἰσχυροι δὲ τὰ σώματα γίγνοιντο δῆλόν ἐστι γὰρ τοὺς τοιούτους σφίσι τε αὐτοῖς καλῶς χρῆσθαι εν εἰρήνῃ συμπολιτευομένους καὶ ἐκ πολέμου σῴζειν τὴν πόλιν καὶ ἐλευθέραν καὶ εὐδαίμονα διαφυλασσειν. Οὕτως αὐτοὺς διδάσκομεν, ἄλλα μὲν ἄλλοις μαθήματα καὶ γυμνάσια προτιθέντες, ἄλλως τε καὶ πρὸς τοὺς πόνους καὶ τὰ σώματα ἐθίζοντες ἵνα συνετοὶ γίγνωνται τῶν καλῶς ἐχόντων.

da Luciano

LAVORIAMO SUL LESSICO

1. Analizza ciascun periodo, individuando: 1) i nomi propri, 2) le parole ricorrenti, 3) le parole di cui conosci il significato, 4) le parole di cui ipotizzi il significato sulla base della loro appartenenza a una certa famiglia lessicale o degli esiti che esse hanno prodotto in italiano o in altre lingue moderne a te note, 5) l'area semantica dominante.

2. Collega i seguenti vocaboli tratti dal brano con i vocaboli di significato affine e opposto, riportati rispettivamente nelle colonne A e B.

	A	B
1. ἑδραῖος	**a.** ἐπιστήμων	**A.** ἄρχομαι
2. εὐδαίμων	**b.** ἀκινδυνότης	**B.** ἄπειρος
3. συνετός	**c.** φυλάσσω	**C.** σφαλερός
4. ἐπιτελέω	**d.** ἅγιος	**D.** φθείρω
5. ἰσχυρός	**e.** βέβηλος	**E.** κινητικός
6. ἀκίνητος	**f.** ἐρρωμένος	**F.** κίνδυνος
7. σῴζω	**g.** βέβαιος	**G.** ἄθλιος
8. ἀσφάλεια	**h.** τελευτάω	**H.** ἀσθενής

4 L'uso di ἄν con il congiuntivo e l'ottativo

SCHEDA MORFOSINTATTICA

- La particella ἄν si associa al verbo di modo congiuntivo o ottativo per conferire all'enunciato rispettivamente valore di eventualità o potenzialità.

▶ ἄν + congiuntivo

- Ricorre *solo* **in proposizioni dipendenti** ed esprime l'idea di **eventualità** dell'azione

Ὃς ταῦτα λέγει, ἁμαρτάνει.	Chi dice ciò, sbaglia.
Ὃς ταῦτα **ἂν λέγῃ**, ἁμαρτάνει	Chi **eventualmente dica** ciò, sbaglia

- Talvolta ἄν si fonde con la congiunzione che introduce la subordinata: ad esempio ὅτε + ἄν = **ὅταν** ("qualora"); ἐπειδή + ἄν = **ἐπειδάν** ("qualora").

Ὅτε οἱ πολέμιοι πλησιάζουσιν, οἱ δειλοὶ φεύγουσιν.	Quando i nemici si avvicinano, i vili fuggono.
Ὅταν οἱ πολέμιοι **πλησιάζωσιν**, οἱ δειλοὶ φεύγουσιν.	**Qualora** i nemici **si avvicinino**, i vili fuggono.

▶ ἄν + ottativo

- Ricorre **in proposizioni dipendenti e indipendenti** ed esprime **potenzialità nel presente**. Si traduce con il futuro indicativo o il condizionale presente oppure con una perifrasi costituita dal condizionale presente del verbo "potere" seguito dall'infinito.

Ἴσως **ἄν** τις **λέγοι**.	Forse qualcuno **potrebbe dire**. Forse qualcuno **direbbe**. Forse qualcuno **dirà**.

DDI
Lettura espressiva delle versioni

TRADUCI

Per facilitarti nella traduzione, ricorda che in questa sezione di esercizi si utilizzano vocaboli tratti dal Lessico frequente, dal Lessico tematico e altri che troverai sul vocabolario.

ESERCIZIO
ἄν con il congiuntivo

22. **Analizza e traduci le seguenti frasi prestando particolare attenzione al nesso ἄν + congiuntivo, che è sempre evidenziato.**

1. Ἐπειδὰν γὰρ **λαμβάνωσι** μαθητάς, οἱ μὲν παιδοτρίβαι τὰ σχήματα τὰ πρὸς τὴν ἀγωνίαν τοὺς φοιτῶντας διδάσκουσιν **2.** Ὅταν τις **ἔξῃ** τῆς οἰκίας, ζητειτω πρότερον, τί μέλλει πράσσειν· καὶ **ὅταν εἰσίῃ**, πάλιν, τί ἔπραττε **3.** Ἡμεῖς ὑμᾶς, **ἐπειδὰν** ἐκεῖσε **ἥκητε**, δέχεσθαι ἑτοῖμοί ἐσμεν ὡς **ἂν δυνώμεθα** κάλλιστα **4.** Ἄνθρωποι ἐπ᾽ οὐδένας μᾶλλον συνίστανται ἢ ἐπὶ τούτους οὓς **ἂν αἰσθάνωνται** ἄρχειν αὐτῶν ἐπιχειροῦντας. **5.** Εὐδαίμονες δοκοῦσι πᾶσαι αἱ πόλεις αἳ **ἂν** πολὺν χρόνον ἐν εἰρήνῃ **διατελῶσιν** **6.** Πολλάκις οἱ ἄνθρωποι τούτοις σφόδρα εθέλουσι πείθεσθαι, οὓς **ἂν ἡγῶνται** πραεῖς

εἶναι καὶ ἐγκρατεῖς. **7.** Ὥσπερ, **ὅταν** φέγγος τι ἐν νυκτὶ **φαίνηται**, πάντων προσάγεται τὰ ὄμματα, οὕτω οὐδεὶς ἦν ὃς τῷ κάλλει τῆς Ἑλένης οὐ προσέβλεπε **8.** Ἐν ταῖς εὐνομουμέναις πόλεσιν οἱ πολῖται αἱροῦνται νομοφύλακας, οἳ τοὺς μὲν τοῖς νομίμοις ἐμμένοντας **ἂν ἐπαινῶσιν**, τοὺς δὲ παρανομοῦντας **ἂν ζημιῶσιν**:

ESERCIZIO
ἄν con il congiuntivo

23. **Analizza e traduci le seguenti frasi, in cui sono evidenziati i nessi di ἄν + congiuntivo.**

1. Καὶ τῶν ἀνθρώπων οἱ ψευδολόγοι τοτε μάλιστα καταλαζονεύονται, **ὅταν** τοὺς ἐλέγχοντας μὴ **ἔχωσι**. **2.** Χειμων τε γὰρ ἦν, καὶ τὸν πόλεμον αὐτόθεν ποιεῖσθαι οὕτω εὐόκει δυνατὸν εἶναι, πρὶν **ἂν** οἱ στρατηγοὶ ἱππέας **μεταπέμπωσιν** ἐκ τῶν Ἀθηνῶν. **3.** Πρὶν δ' **ἂν** ἄνθρωπος **τελευτᾷ**, ου δεῖ αυτον ὄλβιον καλεῖν. **4.** Ὅταν πινειν **βουλώμεθα**, φερω εκ τοῦ καπήλου ἀσκὸν οἴνου **5.** Οἱ διδασκαλοι τῆς τῶν μαθητῶν σωφροσυνης ἐπιμελοῦνται, ὅπως **ἂν** οἱ νέοι μηδὲν **κακουργῶσι**. **6.** Πρὸ τῆς μάχης ο βασιλεὺς τοῖς υἱέσι λέγει «Τὸ ἐμὸν σῶμα, **ὅταν τελευτῶ**, μητε ἐν χρυσῷ τιθῆτε μήτε ἐν ἀργυρῳ μητε ἐν ἄλλῳ μηδενί, ἀλλὰ τῇ γῇ ὡς τάχιστα ἀποδίδοτε» **7.** Ἐκεῖνό γε πᾶσιν φανερόν, **ὅταν** τις **πολεμῇ** πρὸς ἀνθρώπους ἐκ πολλῶν τοπων συλλεγομένους, ὅτι δεῖ μὴ περιμενειν ἕως **ἂν ἐφιστῶνται**, ἀλλ' αὐτοῖς ἔτι διασπειρομένοις ἐπιχειρεῖν. **8.** Ἕως **ἂν διψῶμεν**, πίνομεν ἐν τῷ συμποσίῳ κρατῆρα μεστὸν οἴνου. **9.** Ὁ στρατηγὸς τοὺς στρατιώτας συναγείρων ἔλεγε «Νῦν μὲν προερχώμεθα ὅσον **ἂν δοκῇ** ἡμῖν καιρὸς εἶναι εις τὸ δειπνοποιεῖσθαι· ἕως δ' **ἂν πορευώμεθα**, Τιμασίων ἔχων τοὺς ἱππέας προσελαυνετω ἐφορῶν ἡμᾶς, ὡς μηδὲν ἡμᾶς **ἂν λανθάνῃ**» **10.** Ὑπὲρ τίνων οἴει χρῆναι μαχομένους ημᾶς ἀποθνήσκειν, Οὐχ **ὅταν** οἱ πολέμιοι **προστάττωσίν** τι παρὰ τὸ δίκαιον καὶ πόλεμον ἐκφέρωσιν ἵνα τῆς ἡμετέρας χώρας ἡμᾶς **ἂν ἐκβάλλωσιν**.

ESERCIZIO
ἄν con l'ottativo

24. **Analizza e traduci le seguenti frasi prestando particolare attenzione al nesso ἄν + ottativo, che è sempre evidenziato.**

1. Ἐχθροῖς ἀπιστῶν οὔποτ' **ἂν πάσχοις** βλάβην **2.** Ἀνὴρ ἄριστος οὐκ **ἂν εἴη** δυσγενής. **3.** **Ἐπιλείποι** δ' **ἂν** ἡμᾶς ὁ πᾶς χρόνος, καταριθμουμένους πάσας τὰς τοῦ Ἀλεξάνδρου πράξεις **4.** Ὁ εὖ διατιθεὶς τον αὐτοῦ οἶκον καὶ τὰ τῆς πόλεως πράγματα **διατιθείη ἄν**. **5.** Πάντες **ἂν ὁμολογοῖεν** προσήκειν τοῖς βασιλεύουσι πόλιν δυστυχοῦσαν παύειν καὶ καλῶς πράττουσαν διαφυλασσειν και μεγαλην ἐκ μικρᾶς ποιεῖν **6.** Ο Θαλῆς, ερωτώμενος πῶς **ἄν** τις ἀτυχίαν ῥᾷστα **φέροι**, αποκρίνεται «Βλέπων τοὺς ἐχθροὺς χεῖρον πράσσοντας». **7.** Οὐ προσήκει ἀνδρι τυράννῳ πρὸς ἰδιωτας ἀγωνιζεσθαι· νικῶν μὲν γὰρ οὐκ **ἂν θαυμάζοιτο** ἀλλὰ **φθονοῖτο**, νικώμενος δ' **ἂν** πάντων μάλιστα **καταγελῷτο** **8.** Τίς γὰρ οὕτως ἢ νέος ἢ παλαιὸς ῥᾳθυμός ἐστιν, ὥστε οὐ μετέχειν **ἂν βούλοιτο** ταύτης τῆς στρατιᾶς;

ESERCIZIO
ἄν con l'ottativo

25. **Analizza e traduci le seguenti frasi, in cui sono evidenziati i nessi di ἄν + ottativo.**

1. Γήρως δὲ φαύλου τίς **ἂν εἴη** ἑκτροπή; **2.** Ἀλόγιστος **ἂν εἴη** ὁ δι' ἐλπίδα μείζονος τὰ ἐν χερσιν αφιεὶς σμικρὰ ὄντα. **3.** Ἄνευ ὁμονοίας ουδ' **ἂν** πολις εὖ **πολιτεύοιτο** οὐδ' οἶκος καλῶς οἰκοῖτο. **4.** Πάντες οἶμαι **ἂν ὁμολογοῖεν** τοὺς νόμους πλείστων καὶ μεγίστων ἀγαθῶν αιτιους εἶναι τῷ βίῳ τῷ τῶν ἀνθρώπων **5.** Ἔνθα δὲ ἀπεκρίνετο Κλεάνωρ ὁ Ἀρκας, πρεσβυτατος ὢν, ὅτι μᾶλλον **ἂν ἀποθνήσκοιεν** οἱ Ἕλληνες ἢ τὰ ὅπλα παραδοῖεν. **6.** Τοιοῦτος γίγνου περὶ τοὺς γονεῖς, οἵους **ἂν εὖχοιο** περὶ σεαυτὸν γίγνεσθαι τους σεαυτοῦ παῖδας. **7.** Πλεῖστα πλοῖα δ' ὑμῖν παρεστιν, ὥστε ὅπῃ ἂν βούλησθε ἐξαίφνης **ἂν ἐπιπίπτοιτε** **8.** Ἐν ταῖς ερημίαις σημεῖα ουκ ἔστιν οὔτε ὁρη οὔτε δένδρα, οἷς οἱ ὁδῖται **τεκμαίροιντο ἄν** τὴν πορείαν, καθάπερ οἱ ναῦται τοῖς ἄστροις. **9.** Αἰτούμενοι οὖν μικρὰ πλοῖα παρὰ Τραπεζουντίων **ἂν κατάγοιμεν** καὶ **φυλάττοιμεν** αὐτὰ ἕως ἂν τοσαῦτα ἔχωμεν ὅσων δεόμεθα **10.** Ὅτι δ' οὕτω ταῦτ' ἔχει, ἀναγίγνωσκέ μοι τό τε τοῦ Καλλισθένους ψήφισμα καὶ τὴν ἐπιστολὴν τὴν τοῦ Φιλίππου, ἐξ ὧν

ἀμφοτέρων ταῦθ' ἅπαντα ὑμῖν **ἂν γίγνοιτο** φανερά. **11.** Θαυμαστὸν δὲ φαίνεταί μοι πείθεσθαί τινας ὡς Σωκράτης **ἂν** τοὺς νέους **διαφθείροι**. Πῶς αὐτός, ἐγκρατέστατος καὶ δικαιότατος ὤν, ἄλλους **ἂν** ἢ ἀσεβεῖς ἢ παρανόμους **ποιοίη**.

VERSIONE

Difficoltà

185 Il leone e il cinghiale

Occorre interrompere le controversie quando si manifesta una minaccia che mette a rischio entrambi i contendenti.

Θέρους ἐν ὥρᾳ, ὅτε τὸ καῦμα διψᾶν ἐμποιεῖ, εἰς μικρὰν πηγὴν λέων καὶ κάπρος ἦρχοντο ἵνα πίνοιεν. Ἤριζον δὲ τις πρῶτος αὐτῶν πίνοι ἐκ τούτου δὲ πρὸς φόνον ἐτρέποντο. Ἄφνω δὲ ἐπιστρεφόμενοι πρὸς τὸ ἀναπνεῖν, ἑώρων γῦπας ἐκδεχομένους ὃς ἂν αὐτῶν πίπτῃ, ἵνα τοῦτον κατεσθίοιεν. Διὰ τοῦτο λύοντες τὴν ἔχθραν ἔλεγον «Κρεῖσσόν ἐστιν ἡμᾶς φίλους γίγνεσθαι ἢ βρῶμα γυψὶ καὶ κόραξιν».
Ὁ μῦθος δηλοῖ ὅτι τὰς πονηρὰς ἔριδας καὶ τὰς φιλονεικίας καλόν ἐστι διαλύειν, ἐπειδὴ πᾶσιν ἐπικίνδυνον τέλος ἄγουσιν.

VERSIONE

Difficoltà

186 Un ambasciatore vanitoso

Come si può credere che dica la verità chi, tingendosi i capelli, cerca di dissimulare anche la propria età?

Ἀνὴρ Χῖος εἰς Λακεδαίμονα ἀφικνεῖτο, γέρων ἤδη ὤν. τὰ μὲν ἄλλα ἀλαζών, ἠδεῖτο δὲ ἐπὶ τῷ γήρᾳ. καὶ τὴν τρίχα πολιὰν οὖσαν ἐπειρᾶτο βαφῇ ἀφανίζειν. Παρερχόμενος οὖν εἰς τοὺς Λακεδαιμονίους καὶ τοιαύτην ὑποφαίνων τὴν κεφαλήν, ἐκεῖνα ἔλεγε ὑπὲρ ὧν ἀφικνεῖτο. Ἀνιστάμενος οὖν ὁ Ἀρχίδαμος, ὁ τῶν Λακεδαιμονίων βασιλεύς «Τί ἄν ἔφη οὗτος ὑγιὲς λέγοι, ὃς οὐ μόνον ἐπὶ τῇ ψυχῇ τὸ ψεῦδος, ἀλλὰ καὶ ἐπὶ τῇ κεφαλῇ περιφέρει;». Καὶ ἐξεώθει τὰ ὑπ' αὐτοῦ λεγόμενα, διαβάλλων τὸν τοῦ Χίου τρόπον, ἐξ ("sulla base di") ὧν ἐωρᾶτο.

da Eliano

LAVORIAMO SUL LESSICO

1. Per ciascun periodo indica sul quaderno i nomi propri, le parole ricorrenti, le parole di cui conosci il significato, le parole di cui ipotizzi il significato sulla base della loro appartenenza a una certa famiglia lessicale o degli esiti che esse hanno prodotto in italiano o in altre lingue moderne a te note, l'area semantica dominante. Sulla base di questo lavoro cerca di ricostruire, prima di passare alla traduzione vera e propria con l'ausilio del vocabolario, il contenuto di ogni periodo.

Periodo n. da a

2. Collega i seguenti vocaboli tratti dal brano con i vocaboli di significato affine e opposto, riportati rispettivamente nelle colonne A e B.

	A	B
1. γέρων	**a.** μεγάλαυχος	**A.** πονηρός
2. αἰδέομαι	**b.** ἀποκρίνομαι	**B.** ὑποφαίνω
3. ἀλαζών	**c.** πρεσβύτης	**C.** συγχωρέω
4. ἀρνέομαι	**d.** κακολογέω	**D.** αἰδήμων
5. ὑπολαμβάνω	**e.** ἀδηλόω	**E.** μεγαλοφρονέω
6. διαβάλλω	**f.** χρηστός	**F.** ἐπαινέω
7. ἀφανίζω	**g.** ἀναίνομαι	**G.** ἐρωτάω
8. ὑγιής	**h.** αἰσχύνομαι	**H.** νεανίας

3. Indica sul quaderno almeno sei parole relative ai campi semantici dell'educazione, della sicurezza e della prosperità.

TRADUCI SENZA VOCABOLARIO

Leggi con attenzione il brano e tenta di comprenderne il significato generale senza l'aiuto del vocabolario. Aiutati con le note esplicative in cui sono mostrati termini derivati da quelli presenti nel testo (< o >), sinonimi (=), contrari (≠), parole di significato simile (≃). Infine, rispondi alle domande di comprensione.

VERSIONE

Difficoltà

187 Medea aiuta Giasone

Medea, figlia del re Eeta, si innamora di Giasone e lo aiuta quindi a conquistare il vello d'oro offrendo dei consigli utili e un filtro magico, che serve ad aggiogare dei temibili tori dagli zoccoli di bronzo che spirano fiamme dalle narici.

Ἀποροῦντος[1] δὲ τοῦ Ἰάσονος πῶς ἂν τοὺς ταύρους[2] καταζευγνύοι[3], Μήδεια αὐτοῦ ἔρωτα[4] ἴσχει[5]· ἦν δὲ αὕτη θυγάτηρ[6] Αἰήτου καὶ Εἰδυίας τῆς Ὠκεανοῦ, φαρμακίς[7]. Φοβουμένη[8] δὲ τοὺς ταύρους, κρύφα[9] τοῦ πατρὸς[10] συνεργεῖν[11] αὐτῷ πρὸς τὴν κατάζευξιν[12] τῶν ταύρων ἐπήγγελλε[13] καὶ τὸ χρυσοῦν[14] δέρας[15] ἐγχειρίζειν[16], εἰ ὤμνυε[17] αὐτὴν ἕξειν γυναῖκα[18] καὶ εἰς Ἑλλάδα σύμπλουν[19] ἥξετο[20]. Ὀμνύοντος δὲ Ἰάσονος, φάρμακον[21] δίδωσιν[22], ᾧ καταζευγνύναι μέλλοντα τοὺς ταύρους ἐκέλευε[23] χρίειν[24] τήν τε ἀσπίδα[25] καὶ τὸ δόρυ[26] καὶ τὸ σῶμα[27].

da Apollodoro

1. ἀπορέω < ἀπορία "difficoltà", "incertezza".
2. ταῦρος = lat. *taurus*.
3. καταζεύγνυμι < ζεῦγος "giogo".
4. ἔρως ≠ μῖσος, ἔχθρα.
5. ἴσχω ≃ ἔχω.
6. θυγάτηρ = lat. *filia*.
7. φαρμακίς = φαρμακεύτρια "maga"
8. φοβέομαι < φόβος "timore".
9. κρυφα + gen < κρυπτω "nascondere".
10. πατηρ ≠ μητηρ
11. συνεργέω > it. "sinergia"
12. κατάζευξις < καταζεύγνυμι.
13. ἐπαγγέλλω < ἐπί + ἀγγέλλω.
14. χρυσέος = lat. *aureus*.
15. δέρας = δέρμα "pelle".
16. ἐγχειρίζω < ἐν + χείρ.
17. ὀμνύω = lat. *iuro*.
18. γυνή ≠ ἀνήρ.
19. σύμπλοος/σύμπλους < συν + πλέω "navigare".
20. ἄγω = lat. *ago*.
21. φαρμακον > it "farmacia", "farmaco", "farmaceutico".
22. δίδωμι ≠ λαμβάνω, αἱρέω
23. κελευω ≃ επιτασσω
24. χριω > it "crisma", "Cristo"
25. ἀσπίς = lat. *scutum*.
26. δόρυ = ἔγχος, λόγχη.
27. σῶμα = lat. *corpus*.

1. Giasone è innamorato di Medea, che non lo ricambia. V F
2. Giasone giura di sposare Medea e di portarla con sé in Grecia V F
3. Medea consegna a Giasone un unguento per affrontare i tori solo quando Giasone ha prestato il giuramento. V F
4. L'unguento deve essere applicato sulle armi ma non sul corpo. V F

VERSIONE

Difficoltà

188 Imbarazzo di Paride, giudice di bellezza

Paride è chiamato a giudicare chi sia la più bella tra Era, Afrodite e Atena, ma il compito non è facile, soprattutto per un povero pastore, come egli stesso osserva in questo passo.

Πῶς ἂν οὖν δυναίμην ἐγώ, θνητὸς αὐτὸς καὶ ἀγροῖκος ὤν, δικαστὴς γιγνεσθαι **παραδόξου** θεᾶς καὶ μειζόνος ἢ κατὰ βουκόλον. Τὰ γὰρ τοιαῦτα κρίνειν τῶν **ἁβρῶν** μᾶλλον καὶ ἀστικῶν ἔργον ἐστί· ἐγὼ δὲ τάχ' ἂν δικάζοιμι, κατὰ τὴν ἐμὴν τέχνην, ποτέρα αἴξ καλλίων ἐστὶ ἄλλης αἰγὸς καὶ ποτέρα δάμαλις ἄλλης δαμάλεως· αὗται δὲ θεαὶ πᾶσαί τε ὁμοίως καλαὶ καὶ οὐκ ἐπίσταμαι ὅπως ἄν τις ἀπὸ τῆς ἑτέρας ἐπὶ τὴν ἑτέραν μετάγοι τὴν ὄψιν· οὐ γὰρ ἐθέλει ἀφίστασθαι ῥᾳδίως, ἀλλ' ἔνθα ἂν ἀπερείδῃ τὸ πρῶτον, τούτου **ἔχεται** καὶ τοῦτ' ἐπαινεῖ· κἂν ἐπ' ἄλλο τι μέλος μεταβαίνῃ, κἀκεῖνο καλὸν ὁρᾷ καὶ παραμένει, καὶ ὑπὸ τῶν πλησίον παραλαμβάνεται. Καὶ ὅλον περιλαμβάνει με τὸ κάλλος αὐτῶν καὶ ἄχθομαι, ὅτι μὴ καὶ αὐτὸς ὥσπερ ὁ Ἄργος ὅλῳ βλέπειν δύναμαι τῷ σώματι. Βουλοίμην δ' ἂν καλῶς δικαζειν πάσαις ἀποδιδοὺς τὸ **μῆλον**. Καὶ γὰρ αὖ καὶ τόδε ἐστί· ταύτην μὲν εἶναι συμβαίνει τοῦ Διὸς ἀδελφὴν καὶ γυναῖκα, ταύτας δὲ θυγατέρας· πῶς οὖν οὐ χαλεπὴ καὶ σῦτως ἡ κρίσις;

da Luciano

LE **PAROLE** E IL LORO **CONTESTO**

Nella tabella sottostante trovi le parole evidenziate nel testo. Ponendole in rapporto con il contesto, completa la tabella scrivendo il traducente adatto o motiva quello proposto.

Vocabolo greco	Traducente	Contesto semantico
παραδόξου		In questo caso il termine deve assumere un'accezione che rimandi all'eccezionalità e alla meraviglia.
ἁβρῶν		L'accezione dell'aggettivo chiama in causa la mollezza, la delicatezza d'indole.
ἔχεται		L'accezione è motivata dalla costruzione del verbo *ἔχω*, qui coniugato al medio e unito al genitivo.
μῆλον		Sebbene il sostantivo in greco possa sia indicare la "mela" sia la "capra", il contesto della gara e l'assegnazione del premio chiariscono quale sia il corretto traducente.

5 I pronomi relativi indefiniti e interrogativi indiretti

Grammatica cap. 20, par. 2 ▶ pp. 140-141

Lessico frequente 37

Sostantivi

μηχανή, -ῆς, ἡ = macchina (anche da guerra), espediente, trucco
σπουδή, -ῆς, ἡ = fretta; impegno, zelo
σχολή, -ῆς, ἡ = tempo; tempo libero; pausa, riposo
τρόπος, -ου, ὁ = modo, maniera, uso; indole, natura, carattere

Aggettivi

ἀνόσιος, -ον = empio, sacrilego
νόμιμος, -η, -ον = conforme all'uso o alla legge; τὰ νόμιμα = usanze
ῥᾴθυμος, -ον = noncurante, indifferente (di persona); facile, comodo (di cosa)
ὑγιής, -ές = sano; retto, conforme a giustizia

Verbi

ἀπολαύω = fruire, trarre profitto o piacere
ἀρνέομαι = dire di no, rifiutare
ἄχθομαι = essere irritato
διαβάλλω = far attraversare; mettere in cattiva luce, denigrare, calunniare
διατελέω = portare a termine (τι = qualcosa); continuare a, passare la vita a (con part. pred.)
ἐννοέω = pensare, riflettere
ἐντυγχάνω = incontrare, imbattersi in (+ dat. o genit.)
ἐπιβουλεύω = complottare, cospirare
ληΐζω = catturare; saccheggiare; depredare
μηχανάομαι = costruire; tramare
φείδομαι = avere compassione di (τινος = qualcuno); risparmiare, usare con parsimonia (τινος = qualcosa); essere parco

RAGIONA CON IL LESSICO

ESERCIZIO
Dall'italiano al greco

26. Rintraccia tra i vocaboli del Lessico frequente 37 le parole cui sono etimologicamente connessi i seguenti termini italiani, quindi precisane il significato.

	Dal greco...	Significato
1. diavolo		
2. scuola		
3. igienico		
4. meccanico		

ESERCIZIO Lessico corradicale

27. Indica a quali verbi del Lessico frequente 37 sono etimologicamente connessi i seguenti vocaboli, quindi spiegane il preciso significato.

	Significato	Connesso con il verbo	Spiegazione etimologica
1. ἄρνησις, -εως, ἡ			
2. ἀπόλαυσις, -εως, ἡ			
3. διαβολή, -ῆς, ἡ			
4. διατελής, -ές			
5. φειδώ, -οῦς, ἡ			
6. τύχη, -ης, ἡ			
7. λῆῖς, -ῖδος, ἡ			
8. ἐπιβουλή, -ῆς, ἡ			
9. ἔννοια, -ας, ἡ			
10. ἄχθος, -ους, τό			

ESERCIZIO Etimologia

28. Indica l'antonimo dei seguenti vocaboli e spiegane l'etimologia.

	Significato	Antonimo	Etimologia
1. ὅσιος, -α, -ον			
2. ἄρρωστος, -ον			
3. σπουδαῖος, -α, -ον			
4. παράνομος, -ον			
5. ῥᾳθυμία, -ας, ἡ			

PREPARATI ALLA TRADUZIONE

ESERCIZIO Riconoscimento

29. Scegli la forma corretta tra quelle indicate, quindi traduci.

1. Τῶν βαρβάρων τινες ιππέων διὰ τοῦ πεδίου ἐλαύνοντες ὅτινι οὕτινος ἐντυγχάνοιεν Ἕλληνι ἢ δούλῳ ἢ ἐλευθέρῳ πάντας ἔκτεινον **2.** Ἔσθ' ἕτερα ἥτις ἥντινα βουλεται λέγειν, **3.** Οὐκ ἐστιν υἱος, ὅτινι οὕτινος οἱ γονεῖς τὴν φυσιν ἀγνοοῦσιν. **4.** Τίς ἐστι ὅστις ὅτινι μᾶλλον πιστεύεις ἢ τῷ πατρὶ ἢ τῇ μητρί: **5.** Ὅ τι ἄττα πράττειν δυνατόν ἐστι, ταῦτα πρᾶττε. **6.** Οἱ Χαλκιδεῖς μεγάλην τινὰ καὶ ὀλβίαν πόλιν ἔκτιζον, ἥτις ἥντινα ἔτι καὶ νῦν Κύμην καλοῦσιν. **7.** Οὐκ ἀγνοεῖς ὅ τι ὅντινα λέγεις. **8.** Οἱ πολέμιοι πάντας, οἵστισι ὧντινων ἐντυγχάνουσιν, ἀποκτείνουσιν.

ESERCIZIO
Flessione

30. **Completa le seguenti frasi con la forma di relativo-indefinito o di interrogativo indiretto opportunamente declinati, quindi traduci.**

1. Οὐδενὶ γάρ φασι πολέμιοι ἥκειν, μὴ πολέμου ἐρᾷ. **2.** ἂν αἰτιώτατοι ὦσι τοῦ τοῖς νομοις πείθεσθαι, οὗτοι ἄριστοί εἰσι **3.** Ὀλβιώτατός ἐστιν ἄνθρωπος παῖδες ἐσθλοί εἰσιν. **4.** Τὸν διδάσκαλον ψέγομεν ἀμαθῆ νομίζομεν. **5.** Ἐμμένω ταῖς σπονδαῖς ὁ βασιλεὺς καταπέμπει. **6.** Οἱ παῖδες ταῦτα ποιοῦσι, ὁ πατὴρ χαίρει. **7.** Μακάριός ἐστιν ἐκεῖνος, οὐδὲν κακὸν συμβαινει. **8.** ἂν λέγῃ ὅτι οἱ Ἀθηναῖοι τῆς Ἑλλάδος σωτῆρες ἦσαν, ἀληθὲς λεγει **9.** Γιγνώσκομεν τέχνην ἔχει ἕκαστος τῶν θεῶν. **10.** Δαρεῖος ἐπυνθάνετο εἶεν οἱ Ἀθηναῖοι. **11.** Λέγετέ μοι γλυκιόν ἐστι τοῦ μέλιτος. **12.** Γίγνωσκε καιροῖς ἔξεστι λέγειν καὶ ἀνάγκη ἐστὶ σιγᾶν.

ESERCIZIO
Lessico

31. **Traduci le seguenti frasi senza l'aiuto del vocabolario.**

1. Τῶν ῥητόρων ἔνιοι οὐδενός εἰσιν ἄξιοι.
Τῶν ῥητόρων ἔνιοι ἐν σχολαῖς εἶναι τινες δοκοῦντες οὐδενός εἰσιν ἄξιοι
Τῶν ῥητόρων ἔνιοι εν σχολαῖς εἶναί τινες δοκοῦντες, ὅταν ἐπὶ τὰς πολιτείας ἀφικνῶνται, οὐδενός εἰσιν ἄξιοι.
Οὕτω καὶ τῶν ῥητόρων ἔνιοι ἐν σχολαῖς εἶναί τινες δοκοῦντες, ὅταν ἐπὶ τὰς πολιτείας ἀφικνῶνται, οὐδενος εἰσιν ἄξιοι.

2. Πολλαὶ φύσεις ἀνθρώπων εἰσὶν εὐφυεῖς.
Πολλαὶ φύσεις ἀνθρώπων εἰσὶν εὐφυεῖς, ἀλλ᾽ ἐκ ῥαθυμίας καὶ ὄκνου ἀπόλλυνται.
Πολλαὶ φύσεις ἀνθρώπων εἰσὶν εὐφυεῖς, ἀλλ᾽ ἐκ ῥαθυμίας καὶ ὄκνου ἀπόλλυνται
Ἐκ δὲ σπουδῆς πολλοὶ περιγίγνονται τῆς φύσεως.
Πολλαὶ φύσεις ἀνθρώπων εἰσὶν εὐφυεῖς, ἀλλ᾽ ἐκ ῥαθυμιας καὶ ὄκνου ἀπόλλυνται.
Ἐκ δὲ σπουδῆς καὶ μακροθυμίας πολλοὶ περιγίγνονται τῆς φύσεως.

3. Οἱ Ἀθηναῖοι μηχανὰς τῇ Ποτειδαίᾳ προσέφερον.
Οἱ Ἀθηναῖοι ἀφικνουμενοι μηχανὰς τῇ Ποτειδαίᾳ προσέφερον
Οἱ Ἀθηναῖοι ἀφικνούμενοι μηχανὰς τῇ Ποτειδαίᾳ προσέφερον καὶ επειρῶντο αἱρεῖν.
Οἱ Ἀθηναῖοι ἀφικνούμενοι μηχανὰς τῇ Ποτειδαίᾳ προσέφερον καὶ παντὶ τρόπῳ ἐπειρῶντο αἱρεῖν.

4. Ἐννοεῖς ὡς χαλεπὴν ὁδὸν ἐπὶ τὰς εὐφροσύνας οἱ σοφοὶ διηγοῦνται.
Ἐννοεῖς ὡς χαλεπὴν καὶ μακραν ὁδὸν ἐπὶ τὰς εὐφροσύνας οἱ σοφοὶ διηγοῦνται;
Ἐννοεῖς ὡς χαλεπὴν καὶ μακρὰν ὁδὸν ἐπὶ τὰς εὐφροσύνας οἱ σοφοὶ διηγοῦνται; Ἐγὼ δὲ ῥᾳδίαν ὁδὸν ἐπὶ τὴν εὐδαιμονίαν ἄγω σε.
Ἐννοεῖς ὡς χαλεπὴν καὶ μακραν ὁδὸν ἐπὶ τὰς εὐφροσύνας οἱ σοφοὶ διηγοῦνται; Ἐγὼ δὲ ῥᾳδίαν καὶ βραχεῖαν ὁδὸν ἐπὶ τὴν εὐδαιμονίαν ἄγω σε.

TRADUCI

ESERCIZIO
Pronome relativo indefinito e interrogativo indiretto

32. **Analizza e traduci le seguenti frasi: le forme dei pronomi relativi indefiniti e interrogativi indiretti sono evidenziate.**

1. Ὁμηρος μὲν γὰρ ἠξίου λέγειν οὐδὲ ὁπόθεν ἦν οὐδὲ **ὧντινων** γονέων. **2.** Δεῖ ἐννοεῖν πρὸς **οὕστινας** συμφέρει πολεμεῖν. **3.** Τί δ᾽ ἐστίν, ὦ κῆρυξ, ἐφ᾽ **ὅ τι** ποθ᾽ ἡμᾶς συγκαλεῖς; Τί τὸ πρᾶγμα; **4.** Παρὰ τοῖς Σκύθαις **ᾧτινι** ἂν πλεῖστα πρόβατα ᾖ, οὗτος πλουσιώτατος

νομίζεται. **5.** Ἄττα λυπηρὰ πάσχειν ἦν, ταῦτα ἡδέα ἀναμιμνήσκεσθαί ἐστιν. **6.** Σωκράτης τῶν ἀνθρώπων μωρίαν κατηγορεῖ, **οἵτινες** παρὰ τὰ ὑπὸ τῶν θεῶν σημαινόμενα ποιοῦσί τι. **7.** Λέγε μοι **ἥντινα** ὁδὸν ἡ στρατιὰ πορεύεται πρὸς τὴν θάλασσαν. **8.** Ὧντινων ὁ βίος φόβου καὶ ὑποψίας ἀεὶ μεστός ἐστι, τούτοις οὔτε πλοῦτος οὔτε δόξα ἡδονὴν διδόασι. **9.** Χρὴ ζητεῖν καὶ φιλοσοφεῖν ἐξ **ὅτου** τροπου καὶ μετὰ **ὧντινων** καὶ **οἵστισιν** συμβούλοις χρώμενος τὰς τῆς πολεως ἀτυχίας ἂν ἐπανορθοίης **10.** Οἱ ἄνθρωποι ψευδεῖς, **ἥντινα** γνώμην ἔχουσιν, οὐκ ἀμελῶς καλύπτουσι καί, **ἄττα** λέγουσι, παντελῶς οὐ νομίζουσιν.

ESERCIZIO
Pronome relativo indefinito e interrogativo indiretto

33. **Analizza e traduci le seguenti frasi.**

1. Χρὴ ζητεῖν ἐξ ὅτου τοσοῦτος πόλεμος τοῖς Ἕλλησι κατίσταται. **2.** Διόνυσος ὀργιζόμενος ἔπεμπε τας Βασσαρίδας αἵτινες Ὀρφέα διέσπων καὶ τὰ μέλη διέρριπτον **3.** Μετὰ τὴν ἧτταν ὁ στρατηγὸς ἠπορει ὅτω τρόπω αὐτῶ ἐξείη σώζεσθαι. **4.** Ὁτιτινι ἂν ἐντυγχανωσιν, τοῦτον αἱ γυναῖκες ἱκετεύουσι μη καταλείπειν αὐτάς, ἀλλὰ κομίζεσθαι ὡς μὴ δουλῶνται ὑπὸ τῶν πολεμίων **5.** Προς ἐμαυτὸν εννοῶ ὅντινα χρόνον ἢ ὅντινα καιρόν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦ παροντος βελτίω ζητεῖτε ἵνα τῆς μάχης ἅπτησθε. **6.** Ἀνόσιόν εστι μὴ διδόναι χάριν τῶν ἀγαθῶν ἔργων ἅττα ὑπὲρ τῆς δημοκρατίας ἐκεῖνοι πράσσουσιν **7.** Δημαρατος, ἀνθρωπου τινος πονηροῦ κόπτοντος αὐτὸν ἀκαίροις ἐρωτήμασι, καὶ τόδε πολλάκις ἐρωτῶντος ὅστις ἄριστος εἴη Σπαρτιατῶν, ἀπεκρίνετο «Ὁ σοὶ ἀνομοιοτατος». **8.** Αἱ οὖν ἐπίκωποι νῆες, ὁπηλίκαι ποτ' ἂν οὖσαι τυγχανωσι, καὶ αἱ ολκάδες εἰσπλέουσι διὰ τοῦ στόματος τοῦ Τεβέριο, ποταμοῦ καὶ μέχρι τῆς Ῥώμης εἰρεσίᾳ καὶ ῥύμασι παρελκόμεναι κομιζονται. **9.** Ὁ σώφρων ἀνήρ, ὅταν υἱέα ἀπολλύῃ ἢ ἄλλο τι τούτων ὧντινων περι πλείστου ποιεῖται, ἄχθεται μέν, μετριάζει δὲ πρὸς λύπην. **10.** Ἐγώ σοι ἄγω συμμάχους οὐχ ὅσους σὺ αἰτεῖς, ἀλλ' ὁπόσους ἐγὼ πλείστους δύναμαι.

6 I pronomi e gli avverbi correlativi

Grammatica cap. 20, parr. 3-4 ▶ pp. 141-142

PREPARATI ALLA TRADUZIONE

I seguenti esercizi ti permettono di verificare se hai imparato a:
- riconoscere e declinare i pronomi e gli aggettivi correlativi;
- riconoscere gli avverbi correlativi.

ESERCIZIO
Riconoscimento

34. **Scegli la forma corretta di correlativo tra quelle indicate, quindi traduci.**

1. Ἀγαθὸς ἄνθρωπος ὁ τοιοῦτος / τοιοῦτον οἷος / οἷον ἀνθρώποις τάγαθὰ ἐπιτελεῖ. **2.** Ὅσην Ὅση τοῖς κύκνοις η φύσις ᾠδην, τοσαύτην τόση ικτίνοις παρεῖχε το προτερον. **3.** Ὥσπερ Ὅσον ο ἰὸς σιδηρον, οὕτως ὡς ὁ φθόνος τὴν ἔχουσαν αὐτὸν ψυχὴν φθειρει. **4.** Οι ἡμετεροι νεανιαι ὁποῖοι ποῖοι εἰσιν, οἵους ὅσους βουλομεθα. **5.** Ὁ Ἀχιλλευς τηλικοῦτος ὁποῖος ἦν, ἡλικος πηλίκος ο ἑταῖρος αὐτοῦ Πατροκλος. **6.** Ὅσους Οἵους δακτύλους ἔχετε εν ταῖς χερσί, τοιούτους τοσούτους ἔχετε ἐν τοῖς ποσί **7.** Οὐκ ἔχομεν ἄλλην τοιαύτην τοσαυτην ηδονήν, ὅσην οἵαν ἡμᾶς βελτίους γίγνεσθαι. **8.** Οἱ τοῦ Κροίσου σύμμαχοι τοιοῦτοι / τοσοῦτοι οὐκ ἦσαν, ὅσους οἵους ἤλπιζεν.

ESERCIZIO Completamento

35. **Completa le seguenti frasi inserendo il pronome correlativo opportunamente declinato, quindi traduci.**

1. Τηλικοῦτός ἐστιν, _____ **φαίνεται, καὶ** _____ ἐστιν, οἷος φαίνεται **2.** Ὁ δὲ Ἀγησίλαος χαλεπῶς ἔφερε, ἐνθυμούμενος καὶ τιμῶν καὶ ἐλπίδων ἀπεστερεῖτο. **3.** Οἱ μέντοι Θηβαῖοι καὶ τοὺς παῖδας τῶν ἀποθνῃσκόντων, ἦσαν, ἐλάμβανον καὶ ἀπέσφαζον. **4.** Οὔποτε ἐν ἡμετέρᾳ πόλει κακὰ ἦσαν, ὅσα τουτῳ τῷ ἔτει. **5.** Σωκράτης εἶναι ἐδόκει, οἷος ἂν εἴη ἄριστός τε ἀνὴρ καὶ εὐδαιμονέστατος.

DDI Lettura espressiva delle versioni

TRADUCI

Per facilitarti nella traduzione, ricorda che in questa sezione di esercizi si utilizzano vocaboli tratti dal Lessico frequente, dal Lessico tematico e altri che troverai sul vocabolario.

ESERCIZIO Pronomi e avverbi correlativi

36. **Analizza e traduci le seguenti frasi, prestando particolare attenzione ai pronomi e agli avverbi correlativi, le cui forme sono evidenziate.**

1. **Τοσούτων** ἀγαθῶν δίκαιόν ἐστι μετέχειν, **ὅσα** οἱ θεοὶ παρέχουσι τοῖς ἀνθρώποις. **2.** **Ὅτε** δὲ παρεκάλουν ἡμᾶς οἱ Λακεδαιμόνιοι ἐπὶ τὸν Πειραιᾶ, **τότε** ἅπασα ἡ πόλις ἀπεψηφίζετο μὴ συστρατευειν αὐτοῖς. **3.** (A) Ὢν **τηλικοῦτος** παῖδα μέλλεις ἔχειν; (B) **Πηλίκος**; (A) Ἐμοὶ μεν παντελῶς δοκεῖς γέρων. **4.** Ἔστι γὰρ ἡ ψυχὴ πόλεως οὐδὲν ἕτερον ἢ η πολιτεία, **τοσαύτην** ἔχουσα δύναμιν **ὅσηνπερ** εν σώματι ἡ φρόνησις. **5.** **Ἔνθα** ὁ καπνός, **ἐκεῖ** καὶ τὸ πῦρ. **6.** Εἰ ἡμεῖς **τηλικαύτην** δίκην τίνομεν, **πηλίκην** χρὴ ὑμᾶς τίνειν. **7.** Οὐδὲν κτῆμα **τοῖόν** ἐστιν, **οἷον** φίλος ἀγαθός. **8.** **Ὡς** δ' ὅτε τις δράκοντι ἐντυγχάνει καὶ τρέμων ἀναχωρεῖ, **οὕτως** Πάρις τὸν Ἀτρείδην Μενέλαον ὁρῶν ἐφοβεῖτο καὶ εἰς φυγὴν ἐτρέπετο.

VERSIONE Difficoltà

189 La conquista di Selinunte

Nel 409 a C Annibale guida i Cartaginesi contro Selinunte, in Sicilia: alla conquista della città seguirono il saccheggio e la devastazione, con il massacro degli abitanti.

Διὸ καὶ τῆς πόλεως καταλαμβανομένης παρα μεν τοῖς Ἕλλησιν ἦν ὀδυρμοὺς καὶ δάκρυα, παρὰ δὲ τοῖς Καρχηδονίοις ἀλαλαγμὸς ἦν καὶ βοὴ σύμμικτος· οἱ μὲν γὰρ τὸ μέγεθος τῆς συμφορᾶς ἐν ὀφθαλμοῖς ἔχοντες περιδεεῖς ἦσαν, οἱ δὲ τῇ νίκῃ ἐπαιρόμενοι σφάζειν παρεκελεύοντο· Εἰς δε τὴν ἀγορὰν συντρεχόντων τῶν Σελινουντίων, οὗτοι μὲν ἐνταῦθα μαχόμενοι παντες ἀνηροῦντο· οἱ δὲ βαρβαροι σκεδαννύμενοι καθ' ὅλην τὴν πόλιν τὴν μὲν εν ταῖς οἰκίαις εὐδαιμονίαν συνηρπαζον, τῶν δ' εις τας ὁδοὺς βιαζομένων οὐ διακρίνοντες οὔτε φύσιν οὔθ' ἡλικίαν, ὁμοίως παῖδας νηπίους, γυναῖκας, πρεσβύτας ἐφόνευον, οὐδεμίαν συμπάθειαν λαμβάνοντες. Ὅσας δε τῶν γυναικῶν μετὰ τέκνων εἰς τοὺς ναοὺς καταφευγούσας κατελάμβανον, παρεκελεύοντο μὴ φονεύειν, και ταύταις μόναις πίστιν ἐδίδοσαν.

da Diodoro Siculo

LAVORIAMO SULLE COMPETENZE

Competenze linguistiche

a. περιδεεῖς (r. 3): analizza questa forma.

b. Fai l'analisi del periodo dell'ultima frase (da Ὅσας a ἐδίδοσαν)

c. Il testo è costruito con diversi parallelismi (spesso evidenziati anche dal μέν e dal δέ), tramite i quali si descrivono le azioni di Greci e Cartaginesi durante la conquista di Selinunte: individuane almeno un paio.

Competenze lessicali

d. εὐδαιμονίαν (r. 6): il sostantivo qui è usato in un'accezione diversa da quella generalmente nota: qual è? Qual è invece il significato più comune del termine?

e. νηπιους (r. 7): il vocabolo ha anche un'accezione traslata: cercala sul vocabolario e memorizzala.

Comprensione

f. Per quale motivo le donne fuggono nei templi?

VERSIONE

Difficoltà

190 Consigli a un giovane sovrano

Isocrate rivolge al giovane sovrano di Cipro, Nicocle, una serie di preziosi consigli per governare rettamente e non lasciarsi ingannare dai cortigiani

Πιστοὺς ἡγοῦ μὴ τοὺς ἅπαν ὅ τι ἂν λέγῃς ἢ ποιῇς ἐπαινοῦντας, ἀλλὰ τοὺς τοῖς ἁμαρτανομένοις ἐπιτιμῶντας. Δίδου παρρησίαν τοῖς εὖ φρονοῦσιν, ἵνα περὶ ὧν ἂν ἀμφιγνοῇς ἔχῃς τοὺς συνδοκιμάζοντας. Διόρα καὶ τοὺς τέχνῃ κολακεύοντας καὶ τοὺς μετ' εὐνοίας θεραπεύοντας, ἵνα μὴ πλέον οἱ πονηροὶ τῶν χρηστῶν ἔχωσιν. Ἄκουε τοὺς λόγους τοὺς περὶ ἀλλήλων, καὶ πειρῶ γνωριζειν ἅμα τούς τε λέγοντας, ὁποῖοί τινες εἰσι, καὶ περὶ ὧν ἂν λέγωσιν. Ταῖς αὐταῖς κόλαζε ζημίαις τοὺς ψευδῶς διαβάλλοντας, αἴσπερ τοὺς ἐξαμαρτάνοντας Ἄρχε σαυτοῦ μηδὲν ἧττον ἢ τῶν ἄλλων, καὶ τοῦθ' ἡγοῦ βασιλικώτατον, εἰ μηδεμιᾷ δουλεύῃς τῶν ἡδονῶν, ἀλλὰ κρατῇς τῶν ἐπιθυμιῶν μᾶλλον ἢ τῶν πολιτῶν. Μηδεμίαν συνουσίαν εἰκῇ προσδέχου μηδ' ἀλογίστως, ἀλλ' ἐπ' ἐκείναις ταῖς διατριβαῖς ἔθιζε σαυτὸν χαίρειν, ἐξ ὧν αὐτός τ' ἐπιδώσεις[1] καὶ τοῖς ἄλλοις βελτίων εἶναι δόξεις[2].

da Isocrate

1. ἐπιδώσεις: indicativo futuro semplice di ἐπιδίδωμι, 2ª persona singolare, forma attiva
2. δόξεις: indicativo futuro semplice di δοκέω, 2ª persona singolare, forma attiva

LAVORIAMO SULLE COMPETENZE

Competenze linguistiche

a. ἡγοῦ (r. 1): analizza la forma e coniuga il verbo da cui deriva all'indicativo presente e imperfetto.

b. Fai un elenco dei participi usati in forma sostantivata presenti nel brano.

c. Analizza gli impieghi di ἄν in questo testo.

d. τῶν χρηστῶν (r. 4): quale complemento esprime in questo caso il genitivo?

e. πειρῶ (r. 5): analizza la forma e coniuga il verbo da cui deriva al congiuntivo e all'ottativo.

f. περὶ ὧν (r. 6): quali fenomeni presenta in questo caso l'uso del relativo?

g. Ταῖς αὐταῖς (r. 6): con quale pronome è correlato in questa frase il determinativo?

Competenze lessicali

h. Una delle minacce al buongoverno è costituita dagli atteggiamenti dei cortigiani: individua nel testo le parole o le perifrasi che fanno riferimento a quest'aspetto.

Comprensione

i. Che cosa viene consigliato a proposito della disciplina individuale? Perché è molto importante che un re sappia governare sé stesso oltre che gli altri sudditi?

VERIFICA DI FINE UNITÀ

ESERCIZIO
Riconoscimento

1. **Analizza le seguenti forme pronominali indicando per ciascuna caso, genere, numero e nominativo singolare, quindi traduci.**

1. τίνι **2.** τίνας **3.** τίνε **4.** ἄττα **5.** του **6.** τίνων **7.** τίνα **8.** τίσιν **9.** τινί **10.** τῳ **11.** τι **12.** τοῦ **13.** τίς

ESERCIZIO
Riconoscimento

2. **Classifica i seguenti pronomi.**

1. πότερον **2.** μηδέσιν **3.** πόσα **4.** ἑκάστῃ **5.** οὐδένας **6.** πόσον **7.** οὐδεμιᾷ **8.** ποίου **9.** οὐδένα **10.** τῷ δεῖνι **11.** ποιῷ **12.** πηλίκου

ESERCIZIO
Proposizioni interrogative

3. **Indica per ciascuna delle seguenti interrogative se è semplice (S), disgiuntiva (DI), retorica a risposta positiva (RP) o negativa (RN), quindi traduci.**

1. Ὑπὸ τίνος ὁ μῦθος λέγεται; [ ]
2. Οὔκουν οἱ τῶν Ἀθηναίων στρατιῶται ἀνδρείαν ἔχουσι. [ ]
3. Μῶν τἀληθῆ γιγνώσκει; [ ]
4. Οὐ γιγνώσκω πότερον ὁ γεωργὸς ἐγείρει ἢ καθεύδει; [ ]

ESERCIZIO
ἄν con il congiuntivo e con l'ottativo

4. **Indica se la particella ἄν esprime un'azione eventuale (E) o potenziale (P), quindi traduci.**

1. Ῥᾴδιον φέρουσι τὸν θάνατον οἱ ἄνθρωποι, ὅταν ἀβασανίστως παρακολουθῇ [ ]
2. Ἀλόγιστος ἂν εἴη ὁ δι' ἐλπίδα μείζονος τὰ ἐν χερσὶν ἀφεὶς μικρὰ ὄντα [ ]
3. Οι θεοὶ μόνον ἂν σῴζοιεν τοὺς στρατιώτας ἐκ τῶν κινδύνων τῶν ἐν τῇ πολεμικῇ χώρᾳ [ ]. Ὁ στρατηγὸς κελεύει τοὺς φεύγοντας διώκεσθαι ἕως ἂν πάντες αἱρῶνται [ ].
4. Ὅταν αὐξάνωμαι καὶ μεγάλη γίγνωμαι, συλλαμβάνειν με οὐ δύνασαι. [ ]
5. Λέγουσιν ὅτι παρὰ τῶν Ἀθηνῶν ἂν ἔρχοιτο βοήθεια. [ ]

ESERCIZIO
ὅστις

5. **Sostituisci il pronome relativo o l'interrogativo τίς, τί con le corrispondenti forme di ὅστις, quindi traduci.**

1. Κροῖσος ἤθελε γιγνώσκειν τίς εἴη ἀνθρώπων ὀλβιώτατος. **2.** Ὁ νεανίας ἐρωτᾷ τίνα τρόπον οἱ Ἕλληνες ἐνίκων τοὺς Πέρσας ἐν Πλαταίᾳ. **3.** Οἱ λόγοι οὓς ἀπὸ τοῦ διδασκάλου ἀκούομεν πιθανοί εἰσιν. **4.** Ὑμῖν καταλείπειν οὐ βούλομαι τὰ χρήματα ἅν ἐπιθυμεῖτε **5.** Οὐδεὶς ἀγνοεῖ τίνα τρόπον ὁ Σωκράτης ἐβίου.

ESERCIZIO
ὅστις

6. **Analizza e traduci le seguenti frasi.**

1. Οὐκ ἔστιν θνητὸς ὅστις ἀεὶ εὐδαιμονεῖ **2.** Ἄκουε τῶν λόγων ἐμῶν, ὅστις εἶ **3.** Ἀπέχεσθαι χρὴ φίλων οἵτινες ἐν τοῖς κινδύνοις οὐ παραμένουσιν. **4.** Ὁ μαθητὴς ἠρώτα διδάσκαλον ὅστις εἴη σοφωτατος τῶν φιλοσοφων **5.** Τοῦ ἄρχοντός ἐστι τὸ προστάσσειν ὅ τι χρὴ ποιεῖν. **6.** Ἡ δεσποινα επαινεῖ τας θεραπαίνας αἵτινες περὶ τῆς οἰκίας σπουδάζουσι **7.** Οὔστινας λογους λέγεις, οὐ σοὶ πιστεύω. **8.** Ἐγὼ ἕτοιμος εἰμι πράσσειν ὅ τι θέλεις. **9.** Τοῦτο χρὴ ἐξετάζειν τὸν δικαστήν, οἵτινες μάρτυρες τὴν ἀλήθειαν ἂν λέγωσιν.

I numerali

GRAMMATICA

1 Aggettivi e avverbi numerali
2 I complementi di estensione, di distanza, di stima o prezzo e di età
3 La costruzione dei *verba timendi*

LESSICO

[illegible] sotto
Lessico tematico Monete attiche, sotto
GIRA LA RUOTA, p. 565
TRADUCI SENZA VOCABOLARIO, p. 574

COMPETENZE

Versioni pp. 567-569; 573-574
Il laboratorio delle competenze, pp. 576-577
Verso l'Esame di Stato, pp. 578-579
[illegible] pp. 580-584

1 Aggettivi e avverbi numerali

Grammatica cap. 21, parr. 1-3 ▶ pp. 143-146

Lessico frequente 38

Sostantivi

διάβασις, -εως, ἡ = traversata, passaggio
ἐλεγεία, -ας, ἡ = elegia
ἐπιβουλή, -ῆς, ἡ = progetto, complotto, trama, insidia
λοχαγός, -οῦ, ὁ = locago, comandante (di un reparto di truppa)
λόχος, -ου, ὁ = compagnia, plotone
μέτωπον, -ου, τό = fronte
Ὀλυμπιάς, -άδος, ἡ = Olimpiade
προσωπεῖον, -ου, τό = maschera
συνουσία, -ας, ἡ = compagnia
ὑποκριτής, -οῦ, ὁ = attore
χορός, -οῦ, ὁ = coro (di un'opera teatrale)

Aggettivi

ἀμειδής, -ές = serio, che non sorride
σκυθρωπός, -όν = severo, austero

Verbi

ἀγοράζω = comperare (una cosa), corrompere (una persona)
ἀγωνίζομαι = partecipare agli agoni
drammatici
ἀριστεύω = primeggiare, eccellere
διδάσκω = mettere in scena

Lessico tematico Monete attiche

δραχμή, -ῆς, ἡ = dracma
μνᾶ, -ᾶς, ἡ = mina (100 dracme)
ὀβολός, οῦ, ὁ = obolo (1/6 della dracma)
τάλαντον, ου, τό = talento (60 mine)
χαλκοῦς, -οῦ, ὁ = monetina di rame (1/8 di obolo)

RAGIONA CON IL LESSICO

ESERCIZIO Dall'italiano al greco

1. Rintraccia tra i vocaboli del precedente elenco le parole da cui derivano i seguenti termini italiani, quindi precisane il significato.

	Dal greco...	Significato
1. metopa		
2. olimpionico		
3. didascalia		
4. prosopografia		
5. elegiaco		
6. aristia		

ESERCIZIO Verbi corradicali

2. Completa la seguente tabella.

	Significato	Verbo corradicale	Significato
1. σκυθρωπός			
2. διάβασις			
3. συνουσία			
4. ἐπιβουλή			
5. ἀμελής			

ESERCIZIO Greco e inglese

3. Indica con quali vocaboli del precedente elenco i seguenti termini inglesi sono etimologicamente connessi. Secondo te, quali vocaboli derivano dal greco (eventualmente attraverso l'intermediazione del latino) e quali risalgono invece direttamente all'indoeuropeo? Verifica le tue ipotesi servendoti di un dizionario etimologico.

anstocrat • teach • hypocrite • chorus • agony

ESERCIZIO Trascrizione

4. Completa le seguenti frasi con il termine greco tratto dal Lessico tematico opportunamente trascritto al nominativo singolare o plurale.

1. Un _____ corrisponde a seimila _____ dato che equivale a sessanta _____.
2. Un τριώβολον corrisponde a tre _____, cioè mezza _____.
3. Per possedere il valore di una _____ occorre avere sei _____.
4. Per possedere il valore di una _____ occorre avere quarantotto _____.

ESERCIZIO DI SINTESI
Lessico frequente e Lessico tematico

5. GIRA LA RUOTA Memorizza il lessico giocando con la ruota e completa dove è necessario con le parole che hai studiato.

PREPARATI ALLA TRADUZIONE

I seguenti esercizi ti permettono di verificare se hai imparato a:
interpretare correttamente i numeri espressi con le cifre alfabetiche greche;
riconoscere gli aggettivi e gli avverbi numerali greci.

ESERCIZIO Riconoscimento

6. Indica in cifre arabe il valore numerico dei seguenti numeri greci.

1. δ΄
2. θ΄
3. ν΄
4. σ΄
5. ω΄
6. τγ΄
7. κε΄
8. λα΄
9. φοζ΄
10. ϕμη΄
11. ͵α
12. ͵βκθ
13. ͵ιρε
14. ͵κτϙζ
15. ΔΔΔΓ
16. ΗΔΓΙΙΙ
17. ΧΗΗΔΓΙΙ
18. ΧΧΔΓΙΙΙ

ESERCIZIO Formazione

7. Completa lo schema, inserendo accanto a ogni cifra araba i numerali greci corrispondenti.

	Cardinale	Ordinale	Avverbio
Es. 27	ἑπτὰ καὶ εἴκοσι	ἕβδομος καὶ εἰκοστός	εἰκοσάκις ἑπτάκις
1. 6			
2. 52			
3. 87			
4. 91			
5. 143			
6. 235			
7. 569			
8. 1122			
9. 2577			
10. 10599			

DDI
Lettura espressiva della versione

TRADUCI

Per facilitarti nella traduzione, ricorda che in questa sezione di esercizi si utilizzano vocaboli tratti dal Lessico frequente, dal Lessico tematico e altri che troverai sul vocabolario.

ESERCIZIO Uso dei numerali

8. Analizza e traduci le seguenti frasi, in cui sono evidenziati i numerali presenti.

1. Ὅταν δ' ἁρπάζῃ τις ἐλευθέραν γυναῖκα καὶ βιάζηται, ζημία ἔστω **ἑκατὸν** δραχμαί. **2.** Ὁ βασιλεὺς **τριάκοντα** μνᾶς ἑκάστῃ νηὶ τοῦ μηνὸς διδόναι βούλεται. **3.** Καὶ αὐτὸς ἐδίδου **δυοῖν** ἀνδροῖν **τριάκοντα** δραχμας ἑκατέρῳ **4.** Ὁ θανατος τυγχάνει ὤν, ὡς ἐμοὶ δοκεῖ, οὐδὲν ἄλλο ἢ **δυοῖν** πραγματοιν διάλυσις, τῆς ψυχῆς καὶ τοῦ σωματος, ἀπ' ἀλλήλοιν. **5.** Μετὰ ταῦτα περιεμενον Τισσαφερνην οἵ τε Ἕλληνες καὶ ὁ Ἀριαῖος ἡμέρας πλείους ἢ **εἴκοσιν** **6.** Ἐπεὶ δὲ ταῦτ' εγίγνωσκον οι στρατηγοί, εποίουν **ἓξ** λόχους ἀνὰ **ἑκατὸν** ἄνδρας καὶ λοχαγοὺς ἐφιστησαν καὶ ἄλλους πεντηκοντῆρας καὶ ἄλλους ἐνωμοτάρχους. **7.** Πρὸς μὲν Καρχηδονίους **δύο** μάχας ἐνιστάμενος ἐν ἑκατέραις Διονύσιος ὁ Συρακόσιος ἡττᾶται, παρὰ δὲ τοῖς πολιταις πιστευόμενος **ἅπαξ** στρατηγίας εὐθέως τυραννίδα καθίστησι **8.** Ἐπεὶ δὲ πεζόμενοι οἱ Ἕλληνες ἐπεχείρουν διώκειν,

